

Herrn Professor Lücke
empfiehlt sich
der Verfasser

O

HISTORIAE ECCLESIASTICAE

VETERIS

MONUMENTA PRAECIPUA

COLLEGIT

HERMANNUS OLSHAUSEN,

S. S. THEOL. LICENT. ET ORDIN. REPET. SOD. IN UNIVERS. REG. BEROLINENSI.

PRAEFATUS EST

AUGUSTUS NEANDER,

S. S. THEOL. DOCTOR ET P. P. O.

VOLUMEN PRIMUM,


TRIA PRIORA SECULA CONTINENS.

Fr Lücke.

BEROLINI,

IMPENSIS FERD. DÜMMLERI.

MDCCCXX.



HISTORIAE ECCLESIASTICAE VETERIS MONUMENTA PRAECIPUA.

PARS PRIMA.



PRAEFATIO.

Amicissimi Olshausen, inde a pluribus annis studiorum societate intime mecum conjuncti obsequutus modestiae, paucis verbis rationem publice reddam ejus consilii, quod me potissimum autore suscepit. Quum saepius olim in animo volvissem ea quae fieri possent ad antiquitatis Christianae studia juvenes inter theologos excitanda promovendaque, sponte quasi enata mihi est idea collectionis alicujus veterum monumentorum secundum certum quendam ordinem digestorum, qua gravissima quaeque, quae de rebus Christianorum antiquissimorum variis e voluminibus conquirenda essent dispersa, uno in conspectu proponerentur perlustranda historiae ecclesiasticae studiosis. Quod vero opus quominus ipse aggrederer, quum variis negotiis distentus impedirer, dilectissimus Olshausen, sermone mecum collato, incitatus spe fructuum quos ex hoc labore ad antiquitatis Christianae studia redundaturos ei persuaseram, promtissimo animo eundem suscepit, summa cum indu-

stria eundem persecutus est atque e mea quidem sententia, consilio proposito egregie satisfecit. Volumen quod historiam trium priorum ecclesiae Christianae seculorum complectitur, e commodis votisque Dümmleri, viri honestissimi, bibliopolae quid non de re litteraria optime meriti, duas in particulas divisit, quarum prior jam in publicum profertur, altera mox subsequetur. Unum tantum est quod addam: non sine gravi consilio autorem hujus operis in notis adspergendis se praebuisse parcissimum, cum ne totum opus nimium in volumen accresceret, tum ne viva voce illustranda occuparet.

Faxit Deus O. M. ut et juvenes theologi horum monumentorum conspectu ad sanctae illius antiquitatis cognitionem interiorem perducantur atque, id quod gravissimum est, ad ejus pietatem ferventem illam, genuinam et simplicem vita moribusque exprimendam, incitentur, et ut autor hujus collectionis industria sua atque diligentia virorum eruditorum benevolentiae commendetur.

Scribebam Berolini d. V. Apr. MDCCCXX.

A. Neander.

INDEX

PARTIS PRIMAE.

CAPUT I.

CAPUT II.

CAPUT III.

CA-

CAPUT PRIMUM.

MONUMENTA AD HISTORIAM CHRISTI ET APOSTOLORUM PERTINENTIA.

I.

TESTIMONIUM DE CHRISTO.

(*Josephi Antiqq.* XVIII, 4.)

Locum Josephi insignem ita, ut nunc in codd. et edd. legitur, ab autore non esse profectum, omnes consentiunt eruditi. Post Euseb. H. E. I, 11. a multis veterum laudatur, ~~ante~~ Eusebium a nemine, neque ab Origene, licet occasione oblata adv. Cels. I, 47. Ea certe, quae uncis inclusimus, interpolata esse videntur. Coniecturas alii adhibuerunt: *ὁ Χριστὸς οὗτος εἶναι ἐπιστεύετο*, et post verba *ἐφάνη γὰρ αὐτοῖς* adiecerunt, *ὥς φασι.*

Omnes huius loci lectiones variantes, quae tamen levioris momenti sunt, habes in Fabricii luce salut. Ev. p. 18.

Γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον Ἰησοῦς τις, σοφὸς ἀνήρ, (εἴγε ἄνδρα αὐτὸν λέγειν χρή·) ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν σὺν ἡδονῇ τἀληθῆ δεχομένων· καὶ πολλοὺς μὲν τῶν Ἰουδαίων, πολλοὺς δὲ καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. [Ὁ Χριστὸς οὗτος

ἦν] [1]) καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου οὐκ ἐξεπαύσαντο οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες. [Ἐφάνη γὰρ αὐτοῖς τρίτην ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε καὶ ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια εἰρηκότων.] Εἰσέτι τε νῦν τῶν χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἐπέλιπε τὸ φῦλον.

II.

EPISTOLAE ABGARI AD CHRISTUM ET CHRISTI AD ABGARUM.

(*Euseb. H. E.* I, 13.)

Constat quidem inter omnes perperam has epistolas Abgaro atque Christo tribui, neque tamen omittendas esse existimavi, cum inter insignia veteris ecclesiae monumenta merito referantur. Non est enim cur dubitemus, quin Eusebius ex actis ecclesiae Edessenae exemplar harum epistolarum acceperit: ecclesiam fuisse Edessae primis temporibus certum est, atque fortasse aliquid veri subest huic historiae de Abgari sanatione, unde postea ecclesiae Edessenae

1) Versio antiqua Hieronymi legit: „et credebatur esse Christus,“ quod coniecturam illam ὁ Χριστὸς οὗτος εἶναι ἐπιστεύετο probabiliorem reddit. Ipse Josephus scribit Arch. XX, 9. Ἰησοῦς ὁ λεγόμενος Χριστός.

antistes aliquis fraudulenter minus, quam pio animo epistolas illas finxit, et in ecclesiae scriniis deposuit. Edessae fictas esse docent inprimis quae subscripta sunt: ἐπράχθη ταῦτα τεσσαρακοστῷ καὶ τριακοσιοστῷ ἔτει.

Eusebius de litteris Abgari et Christi deque Thaddaeo misso pauca praefatus pergit ita: ἔχεις καὶ τούτων ἀνάγραπτον τὴν μαρτυρίαν ἐκ τῶν κατὰ Ἔδεσσαν τοτηνικαῦτα βασιλευομένην πόλιν γραμματοφυλακείων ληφθεῖσαν. Ἐν γοῦν τοῖς αὐτόθι δημοσίοις χάρταις, τοῖς τὰ παλαιὰ καὶ τὰ ἀμφὶ τὸν Ἄβγαρον [1]) πραχθέντα περιέχουσι, καὶ ταῦτα εἰσέτι καὶ νῦν ἐξ ἐκείνου πεφυλαγμένα εὕρηται. Οὐδὲν δὲ οἷον καὶ αὐτῶν ἐπακοῦσαι τῶν ἐπιστολῶν ἀπὸ τῶν ἀρχείων ἡμῖν ἀναληφθεισῶν καὶ τόνδε αὐτοῖς ῥήμασιν ἐκ τῆς Σύρων φωνῆς μεταβληθεισῶν τὸν τρόπον.

Ἀντίγραφον ἐπιστολῆς γραφείσης ὑπὸ Ἀβγάρου τοπάρχου τῷ Ἰησοῦ καὶ πεμφθείσης αὐτῷ δι᾽ Ἀνανία ταχυδρόμου εἰς Ἱεροσόλυμα.

Ἄβγαρος τοπάρχης Ἐδέσσης Ἰησοῦ σωτῆρι ἀγαθῷ ἀναφανέντι ἐν τόπῳ Ἱεροσολύμων χαίρειν. Ἤκουσταί μοι τὰ περὶ σοῦ καὶ τῶν σῶν ἰαμάτων, ὡς ἄνευ φαρμάκων καὶ βοτανῶν ὑπὸ σοῦ γινομένων.

---

1) Cum Valesio scripsimus ita pro Αὔγαρος et Ἄγβαρος, secundum nummos et cod. Maz. Ceterum videtur illud nomen dignitatis esse non personae, quippe compluribus Edessae regulis commune.

Ὡς γὰρ λόγος τυφλοὺς ἀναβλέπειν ποιεῖς χωλοὺς περιπατεῖν, καὶ λεπροὺς καθαρίζεις καὶ ἀκάθαρτα πνεύματα καὶ δαίμονας ἐκβάλλεις, καὶ τοὺς ἐν μακρονοσίᾳ βασανιζομένους θεραπεύεις, καὶ νεκροὺς ἐγείρεις· καὶ ταῦτα πάντα ἀκούσας περὶ σοῦ, κατὰ νοῦν ἐθέμην τὸ ἕτερον τῶν δύο, ἢ ὅτι σὺ εἶ ὁ θεὸς καὶ καταβὰς ἀπὸ τοῦ οὐρανοῦ ποιεῖς ταῦτα, ἢ υἱὸς εἶ τοῦ θεοῦ ποιῶν ταῦτα. Διὰ τοῦτο τοίνυν γράψας ἐδεήθην σου σκυλῆναι πρός με καὶ τὸ πάθος ὃ ἔχω θεραπεῦσαι. Καὶ γὰρ ἤκουσα ὅτι καὶ Ἰουδαῖοι καταγογγύζουσί σου καὶ βούλονται κακῶσαί σε· πόλις δὲ μικροτάτη μοί ἐστι καὶ σεμνὴ, ἥτις ἐξαρκεῖ ἀμφοτέροις.

Τὰ ἀντιγραφέντα ὑπ᾽ Ἰησοῦ διὰ Ἀνανία ταχυδρόμου τοπάρχῃ Ἀβγάρῳ.

Ἄβγαρε, μακάριος εἶ, πιστεύσας ἐν ἐμοὶ μὴ ἑωρακώς με, γέγραπται [2]) γὰρ περὶ ἐμοῦ, τοὺς ἑωρακότας με μὴ πιστεύσειν μοι, ἵνα οἱ μὴ ἑωρακότες αὐτοὶ πιστεύσωσι καὶ ζήσωνται. Περὶ οὗ δὲ ἔγραψάς μοι, ἐλθεῖν πρός σε, δέον ἐστὶ πάντα δι᾽ ἃ ἀπεστάλην, ἐνταῦθα πληρῶσαί με, καὶ μετὰ τὸ πληρῶσαι οὕτως ἀναληφθῆναι πρὸς τὸν ἀποστείλαντά με, καὶ ἐπειδὰν ἀναληφθῶ, ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ἵνα

2) Nusquam in Vetere Test. haec sententia legitur. Nonnulli putant autorem respexisse ad Jes. VI, 9. LII, 15. Matth. 13, 13. Mihi potius Joh. 20, 29. laudare videtur autor atque ita foetum suum ut minime genuinum prodere.

ἰάσηταί σου τὸ πάθος, καὶ ζωὴν σοὶ καὶ τοῖς σὺν σοὶ παράσχηται. 3)

Ταύταις δὲ ταῖς ἐπιστολαῖς ἔτι καὶ ταῦτα συνῆπτο τῇ Σύρων φωνῇ.

Μετὰ δὲ τὸ ἀναληφθῆναι τὸν Ἰησοῦν ἀπέστειλεν αὐτῷ Ἰούδας ὁ καὶ Θωμᾶς, Θαδδαῖον ἀπόστολον ἕνα τῶν ἑβδομήκοντα· ὃς ἐλθὼν κατέμενε πρὸς Τωβίαν τὸν τοῦ Τωβία. Ὡς δὲ ἠκούσθη περὶ αὐτοῦ, ἐμηνύθη τῷ Ἀβγάρῳ ὅτι ἐλήλυθεν ἀπόστολος ἐνταῦθα τοῦ Ἰησοῦ, καθὰ ἐπέστειλέ σοι. Ἤρξατο οὖν ὁ Θαδδαῖος ἐν δυνάμει Θεοῦ θεραπεύειν πᾶσαν νόσον καὶ μαλακίαν, ὥστε πάντας θαυμάζειν. Ὡς δὲ ἤκουσεν ὁ Ἄβγαρος τὰ μεγαλεῖα καὶ τὰ θαυμάσια ἃ ἐποίει, καὶ ὡς ἐθεράπευεν ἐν ὀνόματι καὶ δυνάμει Ἰησοῦ Χριστοῦ, ἐν ὑπονοίᾳ γέγονεν, ὡς ὅτι αὐτός ἐστι, περὶ οὗ ὁ Ἰησοῦς ἐπέστειλε λέγων· ἐπειδὰν ἀναληφθῶ, ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ὅστις τὸ πάθος σου ἰάσεται. Μετακαλεσάμενος οὖν τὸν Τωβίαν παρ' ᾧ κατέμενεν εἶπεν· ἤκουσα ὅτι ἀνήρ τις δυνάστης ἐλθὼν καταμένει ἐν τῇ σῇ οἰκίᾳ καὶ πολλὰς ἰάσεις ἐπ' ὀνόματι Ἰησοῦ ἐργάζεται. 4) Ἐλθὼν δὲ ὁ Τωβίας παρὰ Θαδ-

3) Verba quae in nonnullis codd. adduntur: καὶ τῇ πόλει σου ἀρκέσει τὸ ἱκανὸν, πρὸς τὸ μηδένα τῶν ἐχθρῶν κατισχῦσαι αὐτῆς, jure expunxit Strothius. Sigillum quoque Christi adjectum fuisse, habent codd. nonnulli, cui inscriptum erat litteris Hebraicis Θεοῦ Θεαθὲν Θαῦμα Θεῖον, vel secundum alios VII. litterae: X. Ψ. X. E. Y. P. A.

4) Omissa sunt in sermone Abgari verba: et fac eum adducas; quod ex sequentibus patet; Cod. Reg. haec addit: ὁ δὲ εἶπε· ναὶ Κύριε, ξένος τις ἐλθὼν ἐνῴκησε παρ' ἐμοὶ καὶ πολλὰ

δαῖον, εἶπεν αὐτῷ· ὁ τοπάρχης Ἄβγαρος μετακαλεσάμενός με, εἶπεν ἀναγαγεῖν σε παρ' αὐτὸν, ἵνα θεραπεύσῃς αὐτοῦ τὸ πάθος. Καὶ ὁ Θαδδαῖος ἀναβαίνω, ἔφη, ἐπειδήπερ δυνάμει παρ' αὐτὸν ἀπέσταλμαι. Ὀρθρίσας οὖν ὁ Τωβίας τῇ ἑξῆς, καὶ παραλαβὼν τὸν Θαδδαῖον, ἦλθε πρὸς τὸν Ἄβγαρον. Ὡς δὲ ἀνελήλυθε παρόντων καὶ ἑστώτων τῶν μεγιστάνων αὐτοῦ, παραχρῆμα ἐν τῷ εἰσιέναι αὐτὸν ὅραμα μέγα ἐφάνη τῷ Ἀβγάρῳ ἐν τῷ προσώπῳ τοῦ ἀποστόλου Θαδδαίου· ὅπερ ἰδὼν Ἄβγαρος, προσεκύνησε τῷ Θαδδαίῳ, θαῦμά τε ἔσχε τοὺς περιεστῶτας πάντας. Αὐτοὶ γὰρ οὐχ ἑωράκασι τὸ ὅραμα, ὃ μόνῳ τῷ Ἀβγάρῳ ἐφάνη, ὃς καὶ τὸν Θαδδαῖον ἤρετο, εἰ ἐπ' ἀληθείας μαθητὴς σὺ εἶ Ἰησοῦ τοῦ υἱοῦ τοῦ Θεοῦ; ὃς εἰρήκει πρός μέ, ἀποστελῶ σοί τινα τῶν μαθητῶν μου, ὅστις ἰάσεταί σου τὸ πάθος καὶ ζωὴν σοὶ καὶ τοῖς σὺν σοὶ παρέξει πᾶσιν. Καὶ ὁ Θαδδαῖος ἔφη· ἐπεὶ μεγάλως πεπίστευκας εἰς τὸν ἀποστείλαντά με, διὰ τοῦτο ἀπεστάλην πρὸς σέ, καὶ πάλιν ἐὰν ἐπιπλέον πιστεύσῃς εἰς αὐτόν, ὡς ἂν πιστεύσῃς, ἔσται σοι τὰ αἰτήματα τῆς καρδίας σου. Καὶ ὁ Ἄβγαρος πρὸς αὐτὸν ἔφη· οὕτως ἐπίστευσα ἐν αὐτῷ, ὡς καὶ τοὺς Ἰουδαίους τοὺς σταυρώσαντας αὐτὸν, βουληθῆναι δύναμιν παραλαβὼν κατακόψαι, εἰ μὴ διὰ τὴν βασιλείαν τῶν Ῥωμαίων ἀνεκόπην τῆς προ-

---

θαυμάτων ἐπιτελεῖ. Ὁ δὲ ἀνάγαγε αὐτόν, ἔφη, πρός με. Sed in reliquis codd. omnibus non leguntur, et sane glossema esse videntur; jure itaque omittuntur a Strothio.

θέλησιν. Καὶ ὁ Θαδδαῖος εἶπεν· ὁ κύριος ἡμῶν Ἰησοῦς τὸ θέλημα τοῦ πατρὸς αὐτοῦ πεπλήρωκε καὶ πληρώσας, ἀνελήφθη πρὸς τὸν ἑαυτοῦ πατέρα. Λέγει αὐτῷ Ἄβγαρος· κἀγὼ πεπίστευκα εἰς αὐτὸν καὶ εἰς τὸν πατέρα αὐτοῦ. Ὁ Θαδδαῖος, διὰ ταῦτο, φησὶ, τίθημι τὴν χεῖρά μου ἐπὶ σὲ ἐν ὀνόματι αὐτοῦ τοῦ κυρίου Ἰησοῦ. Καὶ τοῦτο πράξαντος, παραχρῆμα ἐθεραπεύθη τῆς νόσου καὶ τοῦ πάθους οὗ εἶχεν, ἐθαύμασέ τε ὁ Ἄβγαρος ὅτι καθὼς ἤκουσται αὐτῷ περὶ τοῦ Ἰησοῦ, οὕτως τοῖς ἔργοις παρέλαβε διὰ τοῦ μαθητοῦ αὐτοῦ Θαδδαίου, ὃς αὐτὸν ἄνευ φαρμακείας καὶ βοτανῶν ἐθεράπευσε, καὶ οὐ μόνον, ἀλλὰ καὶ Ἄβδον, τὸν τοῦ Ἄβδου, ποδάγραν ἔχοντα, ὃ καὶ αὐτὸς προσελθὼν ὑπὸ τοὺς πόδας αὐτοῦ ἔπεσεν, εὐχάς τε διὰ χειρὸς λαβὼν ἐθεραπεύθη. 5) Πολλούς τε ἄλλους συμπολίτας αὐτῶν ὁ αὐτὸς ἰάσατο, θαυμαστὰ καὶ μεγάλα ποιῶν καὶ κηρύσσων τὸν λόγον τοῦ Θεοῦ. Μετὰ δὲ ταῦτα ὁ Ἄβγαρος, σὺ Θαδδαῖε, ἔφη, σὺν δυνάμει τοῦ Θεοῦ ταῦτα ποιεῖς καὶ ἡμεῖς σε αὐτοὶ ἐθαυμάσαμεν, ἀλλ᾽ ἐπὶ τούτοις δέομαί σου, διηγήσασθαί μοι περὶ τῆς ἐλεύσεως τοῦ Ἰησοῦ πῶς ἐγένετο, καὶ περὶ τῆς δυνάμεως αὐτοῦ, καὶ ἐν ποίᾳ δυνάμει ταῦτα ἐποίει, ἅτινα ἠκούσαμεν. Καὶ ὁ Θαδδαῖος, νῦν μὲν σιωπήσομαι, ἔφη, ἐπειδὴ κηρῦξαι τὸν λόγον ἀπεστάλην, αὐ-

---

5) εὐχάς διὰ χειρὸς λαβών; haec verba de χειροθεσίᾳ explicanda sunt cum precibus conjunctâ, quam quoque in sanandis aegrotis saepe adhibebant veteres christiani.

ριον δὲ ἐκκλησίασόν μοι τοὺς πολίτας σου πάντας, καὶ ἐπ' αὐτῶν κηρύξω τὸν λόγον τοῦ Θεοῦ καὶ σπερῶ ἐν αὐτοῖς τὸν λόγον τῆς ζωῆς περί τε τῆς ἐλεύσεως τοῦ Ἰησοῦ καθὼς ἐγένετο, καὶ περὶ τῆς ἀποστολῆς αὐτοῦ, καὶ ἕνεκα τίνος ἀπεστάλη ὑπὸ τοῦ πατρός, καὶ περὶ τῆς δυνάμεως τῶν ἔργων αὐτοῦ καὶ μυστηρίων ὧν ἐλάλησεν ἐν τῷ κόσμῳ, καὶ ποίᾳ δυνάμει ταῦτα ἐποίει, καὶ περὶ τῆς καινῆς αὐτοῦ κηρύξεως, καὶ περὶ τῆς σμικρότητος καὶ περὶ τῆς ταπεινώσεως αὐτοῦ, καὶ πῶς ἐταπείνωσεν ἑαυτὸν καὶ ἀπέθανε, καὶ ἐσμίκρυνεν αὐτοῦ τὴν θεότητα, καὶ ἐσταυρώθη, καὶ κατέβη εἰς τὸν Ἅδην[6]), καὶ διέσχισε φραγμὸν τὸν ἐξ αἰῶνος μὴ σχισθέντα, καὶ ἀνέστη καὶ ἀνήγαγε νεκρούς· καταβὰς γὰρ μόνος, συνήγειρε πολλούς· εἶθ' οὕτως ἀνέβη πρὸς τὸν πατέρα αὐτοῦ. Ἐκέλευσεν οὖν ὁ Ἄβγαρος τῇ ἕωθεν συνάξαι τοὺς πολίτας αὐτοῦ καὶ ἀκοῦσαι τὴν κήρυξιν Θαδδαίου. Καὶ μετὰ ταῦτα προσέταξε δοθῆναι αὐτῷ χρυσὸν καὶ ἄσημον.[7]) Ὁ δὲ οὐκ ἐδέξατο εἰπών· εἰ τὰ ἡμέτερα καταλελοίπαμεν, πῶς τὰ ἀλλότρια ληψόμεθα.

Ἐπράχθη ταῦτα τεσσαρακοστῷ καὶ τριακοσιοστῷ ἔτει.[8])

---

6) κατέβη εἰς τὸν Ἅδην. Hoc certe serius tempus sapit, ut totus hic locus fidei capita recensens.

7) ἄσημον. Aut καὶ omittendum est, aut ἄργυρον legendum, idque legisse videtur Rufinus, qui vertit argenteum.

8) Anno 430. Numerabant Edesseni secundum aeram Seleuci, quae initium habuit ab anno 1. Olymp. 117. Ab hoc

III.

MARTYRIUM JACOBI FRATRIS DOMINI.

(*Ex Hegesippo ap. Eus. H. E.* II, 23.)

Locus hic ex libro quinto ὑπομνημάτων Hegesippi est, agit autem de Jacobo ἀδελφῷ τοῦ κυρίου cujus saepius mentionem facit N. T. et cujus est epistola catholica, quae sub Jacobi nomine in canone N. T. reperitur; ex sententia Eusebii in fine hujus capitis.

Διαδέχεται τὴν ἐκκλησίαν μετὰ τῶν ἀποστόλων, ὁ ἀδελφὸς τοῦ κυρίου Ἰάκωβος, ὁ ὀνομασθεὶς ὑπὸ πάντων Δίκαιος, ἀπὸ τῶν τοῦ κυρίου χρόνων μέχρι καὶ ἡμῶν, ἐπεὶ πολλοὶ Ἰάκωβοι ἐκαλοῦντο. Οὗτος δὲ ἐκ κοιλίας μητρὸς αὐτοῦ ἅγιος ἦν· οἶνον καὶ σίκερα οὐκ ἔπιεν, οὐδὲ ἔμψυχον ἔφαγε· ξυρὸν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀνέβη· ἔλαιον οὐκ ἠλείψατο καὶ βαλανείῳ οὐκ ἐχρήσατο. Τούτῳ μόνῳ ἐξῆν εἰς τὰ ἅγια εἰσιέναι, οὐδὲ γὰρ ἐρεοῦν ἐφόρει, ἀλλὰ σινδόνας, καὶ μόνος εἰσήρχετο εἰς τὸν ναόν. Ηὑρίσκετό τε κείμενος ἐπὶ τοῖς γόνασι, καὶ αἰτούμενος ὑπὲρ τοῦ λαοῦ ἄφεσιν, ὡς ἀπεσκληκέναι τὰ γόνατα αὐτοῦ δίκην καμήλου, διὰ τὸ ἀεὶ κάμπτειν ἐπὶ

---

anno si 430 numerantur, venitur ad annum Tiberii 15; quod optime toti historiae convenit. Haec subscriptio id certe docet Edessae hanc historiam esse confictam; tam artificiose enim alienae terrae mores depingere, ut ejusmodi quid adjicere quis voluisset, huic seculo in more non est.

γόνυ προσκυνοῦντα τῷ Θεῷ καὶ αἰτεῖσθαι ἄφεσιν τῷ λαῷ. Διά γέ τοι τὴν ὑπερβολὴν τῆς δικαιοσύνης αὐτοῦ, ἐκαλεῖτο Δίκαιος καὶ Ὠβλίας, ὅ ἐστιν ἑλληνιστὶ περιοχὴ τοῦ λαοῦ καὶ δικαιοσύνη [1]), ὡς οἱ προφῆται δηλοῦσι περὶ αὐτοῦ. Τινὲς οὖν τῶν ἑπτὰ αἱρέσεων [2]) τῶν ἐν τῷ λαῷ τῶν προγεγραμμένων μοι ἐν τοῖς ὑπομνήμασιν, ἐπυνθάνοντο αὐτοῦ, τίς ἡ θύρα τοῦ Ἰησοῦ [3]); καὶ ἔλεγε τοῦτον εἶναι τὸν σωτῆρα. Ἐξ ὧν τινες ἐπίστευσαν, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστός· αἱ δὲ αἱρέσεις αἱ προγεγραμμέναι οὐκ ἐπίστευον οὔτε ἀνάστασιν, οὔτε ἐρχόμενον ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ὅσοι δὲ καὶ ἐπίστευσαν,

---

1) Omnes codd. cum Rufino et Nicephoro ita legunt; mendum tamen inesse videtur, inprimis in Ὠβλίας. Alii volunt ὠζλιάμ ex Psalm. XXI. alii ὠφλιάμ (arx populi). Fullerus Anglus hanc conjecturam profert: ἐκαλεῖτο σαδδὶκ καὶ ὠζλιάμ, ὅ ἐστιν δίκαιος καὶ περιοχὴ τοῦ λαοῦ.

2) Eus. IV. 22. alium legimus Hegesippi locum, quo nomina sectarum continentur: Ἐσσαῖοι, Γαλιλαῖοι, Ἡμεροβαπτισταί, Μασβωθαῖοι, Σαμαρεῖται, Σαδδουκαῖοι, Φαρισαῖοι. Galilaei sunt sine dubio Judae Galilaei adseclae, quos sectam quartam dicit Joseph. Arch. XVIII, 1. 6. Ἡμεροβαπτισταί Johannis Baptistae discipuli sunt et Μασβωθαῖοι a Semlero explicantur per maschbothim h. e. contemtores Sabbathi. cf. Semleri adnotat. ad Baumgarten Geschichte der Religionspartheien I, p. 270. Alii veterum ut Justin. M. dial. c. Tryph. J. p. 178. edit. Jebb. 7. quoque sectas recensent, sed alia habent nomina. Hieronym. in indice haeres. X classes habet.

3) θύρα Ἰησοῦ institutio ad fidem, sive ut ipse Christus dixerat: ἐγώ εἰμι ἡ θύρα. Moshemius in comment. rer. chr. ante Const. M. p. 95. censet scriptum fuisse jeschua, ut esset θύρα σωτηρίας; per se quidem haec conjectura placet, sed paulo infra legitur: τίς ἡ θύρα Ἰησοῦ τοῦ σταυρωθέντος, quod huic conjecturae non favet.

διὰ Ἰάκωβον. Πολλῶν οὖν καὶ τῶν ἀρχόντων πιστευόντων, ἦν θόρυβος τῶν Ἰουδαίων καὶ γραμματέων καὶ φαρισαίων λεγόντων, ὅτι κινδυνεύει πᾶς ὁ λαὸς Ἰησοῦν τὸν Χριστὸν προσδοκᾶν. Ἔλεγον οὖν συνελθόντες τῷ Ἰακώβῳ· παρακαλοῦμέν σε, ἐπίσχες τὸν λαὸν· ἐπεὶ ἐπλανήθη εἰς Ἰησοῦν, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ. Παρακαλοῦμέν σε, πεῖσαι πάντας τοὺς ἐλθόντας εἰς τὴν ἡμέραν τοῦ Πάσχα περὶ Ἰησοῦ, σοὶ γὰρ πάντες πειθόμεθα. Ἡμεῖς γὰρ μαρτυροῦμέν σοι καὶ πᾶς ὁ λαός, ὅτι δίκαιος εἶ καὶ ὅτι πρόσωπον οὐ λαμβάνεις. Πεῖσον οὖν σὺ τὸν ὄχλον περὶ Ἰησοῦ μὴ πλανᾶσθαι, καὶ γὰρ πᾶς ὁ λαὸς καὶ πάντες πειθόμεθά σοι. Στῆθι οὖν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, ἵνα ἄνωθεν ᾖς ἐπιφανὴς καὶ ᾖ εὐάκουστά σου τὰ ῥήματα παντὶ τῷ λαῷ. Διὰ γὰρ τὸ Πάσχα συνεληλύθασι πᾶσαι αἱ φυλαὶ μετὰ καὶ τῶν ἐθνῶν. Ἔστησαν οὖν οἱ προειρημένοι γραμματεῖς καὶ φαρισαῖοι τὸν Ἰάκωβον ἐπὶ τὸ πτερύγιον τοῦ ναοῦ, καὶ ἔκραξαν αὐτῷ καὶ εἶπον· Δίκαιε, ᾧ πάντες πείθεσθαι ὀφείλομεν, ἐπεὶ ὁ λαὸς πλανᾶται ὀπίσω Ἰησοῦ τοῦ σταυρωθέντος, ἀπάγγειλον ἡμῖν, τίς ἡ θύρα Ἰησοῦ τοῦ σταυρωθέντος; καὶ ἀπεκρίνατο φωνῇ μεγάλῃ· τί με ἐπερωτᾶτε περὶ Ἰησοῦ τοῦ υἱοῦ τοῦ ἀνθρώπου; καὶ αὐτὸς κάθηται ἐν τῷ οὐρανῷ ἐκ δεξιῶν τῆς μεγάλης δυνάμεως, καὶ μέλλει ἔρχεσθαι ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ. Καὶ πολλῶν πληροφορηθέντων καὶ δοξαζόντων ἐπὶ τῇ μαρτυρίᾳ τοῦ Ἰακώβου, καὶ λεγόντων ὡσαννὰ τῷ υἱῷ Δαβίδ, τότε πάλιν οἱ αὐτοὶ γραμματεῖς

καὶ φαρισαῖοι πρὸς ἀλλήλους ἔλεγον, κακῶς ἐποιήσαμεν τοιαύτην μαρτυρίαν παρασχόντες τῷ Ἰησοῦ, ἀλλὰ ἀναβάντες καταβάλωμεν αὐτὸν, ἵνα φοβηθέντες μὴ πιστεύσωσιν αὐτῷ. Καὶ ἔκραξαν λέγοντες· ὦ, ὦ, καὶ ὁ Δίκαιος ἐπλανήθη, καὶ ἐπλήρωσαν τὴν γραφὴν τὴν ἐν τῷ Ἡσαΐᾳ γεγραμμένην 4)· ἄρωμεν τὸν Δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστίν. Τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται. Ἀναβάντες οὖν κατέβαλον τὸν Δίκαιον καὶ ἔλεγον ἀλλήλοις· λιθάσωμεν Ἰάκωβον τὸν Δίκαιον, καὶ ἤρξαντο λιθάζειν αὐτόν. Ἐπεὶ καταβληθεὶς οὐκ ἀπέθανεν, ἀλλὰ στραφεὶς ἔθηκε τὰ γόνατα λέγων· παρακαλῶ κύριε, Θεὲ, πάτερ, ἄφες αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. Οὕτω δὲ καταλιθοβολούντων αὐτὸν, εἷς τῶν ἱερέων τῶν υἱῶν Ῥηχὰβ υἱοῦ Ῥαχαβεὶμ, τῶν μαρτυρουμένων ὑπὸ Ἱερεμίου τοῦ προφήτου, ἔκραζε λέγων· παύσασθε· τί ποιεῖτε; εὔχεται ὑπὲρ ὑμῶν ὁ Δίκαιος. Καὶ λαβών τις ἀπ' αὐτῶν, εἷς τῶν κναφέων τὸ ξύλον ἐν ᾧ ἀπεπίεζε τὰ ἱμάτια, ἤνεγκε κατὰ τῆς κεφαλῆς τοῦ Δικαίου, καὶ οὕτως ἐμαρτύρησεν. Καὶ ἔθαψαν αὐτὸν ἐπὶ τῷ τόπῳ παρὰ τῷ ναῷ καὶ ἔτι αὐτοῦ ἡ στήλη μένει παρὰ τῷ ναῷ. Μάρτυς οὗτος ἀληθὴς Ἰουδαίοις τε καὶ Ἕλλησι γεγένηται, ὅτι Ἰησοῦς ὁ Χριστός ἐστιν. Καὶ εὐθὺς Οὐεσπασιανὸς πολιορκεῖ αὐτούς.

---

4) Jes. 3, 10. Editt. τῶν ό legunt: δήσωμεν pro ἄρωμεν.

IV.

DE PROPINQUIS SERVATORIS.

(*Ex Hegesippo ap. Eus. H. E. III, 20.*)

Suggesserat Domitiano imperatori religionis christianae inimicus, esse in Oriente homines ex stirpe Davidis oriundos; ex his expectari regem, qui maximum regnum esset conditurus. Quos conquiri jussit tyrannus et Romam adduci; mox tamen liberos eos dimisit, cum homines innocentes esse vidisset nec metuendos.

Ἔτι δὲ περιῆσαν οἱ ἀπὸ γένους τοῦ κυρίου υἱωνοὶ Ἰούδα, τοῦ κατὰ σάρκα λεγομένου αὐτοῦ ἀδελφοῦ, οὓς ἐδηλατόρευσαν, ὡς ἐκ γένους ὄντας Δαβίδ. Τούτους δ' ὁ Ἰουόκατος[1]), ἤγαγε πρὸς Δομετιανὸν Καίσαρα, ἐφοβεῖτο γὰρ τὴν παρουσίαν τοῦ Χριστοῦ, ὡς καὶ Ἡρώδης. Καὶ ἐπηρώτησεν αὐτοὺς εἰ ἐκ Δαβίδ εἰσιν, καὶ ὡμολόγησαν. Τότε ἐρώτησεν αὐτοὺς πόσας κτήσεις ἔχουσιν, ἢ πόσων χρημάτων κυριεύουσιν. Οἱ δὲ εἶπον ἀμφότεροι, ἐννεακισχίλια δηνάρια ὑπάρχειν αὐτοῖς μόνα, ἑκάστῳ αὐτῶν ἀνήκοντος τοῦ ἡμίσεως. Καὶ ταῦτα οὐκ ἐν ἀργυρίοις ἔφασκον ἔχειν, ἀλλ' ἐν διατιμήσει γῆς πλέθρων τριάκοντα ἐννέα μό-

---

1) Evocati dicebantur milites qui confectis stipendiis dimissi, iterum ad militiam evocabantur. Centurionibus fere pares erant; et excubias apud imperatorem agere solebant.

των, ἐξ ὧν καὶ τοὺς φόρους ἀναφέρειν καὶ αὐτοὺς αὐτουργοῦντας διατρέφεσθαι. Εἶτα δὲ καὶ τὰς χεῖρας τὰς ἑαυτῶν ἐπιδεικνύναι μαρτύριον τῆς αὐτουργίας, τὴν τοῦ σώματος σκληρίαν, καὶ τοὺς ἀπὸ τῆς συνεχοῦς ἐργασίας ἐναποτυπωθέντας ἐπὶ τῶν ἰδίων χειρῶν τύλους παριστάντας. Ἐρωτηθέντας δὲ περὶ τοῦ Χριστοῦ καὶ τῆς βασιλείας αὐτοῦ, ὁποία τις εἴη, καὶ πότε καὶ ποῖ φανησομένη; λόγον δοῦναι, ὡς οὐ κοσμικὴ μὲν οὐδ' ἐπίγειος, ἐπουράνιος δὲ καὶ ἀγγελικὴ τυγχάνει, ἐπὶ συντελείᾳ τοῦ αἰῶνος γενησομένη, ὁπηνίκα ἐλθὼν ἐν δόξῃ κρινεῖ ζῶντας καὶ νεκρούς, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἐπιτηδεύματα αὐτοῦ. Ἐφ' οἷς μηδὲν αὐτῶν κατεγνωκότα τὸν Δομετιανόν, ἀλλὰ καὶ ὡς εὐτελῶν καταφρονήσαντα, ἐλευθέρους μὲν αὐτοὺς ἀνεῖναι, καταπαῦσαι δὲ διὰ προστάγματος τὸν κατὰ τῆς ἐκκλησίας διωγμόν. Τοὺς δὲ ἀπολυθέντας, ἡγήσασθαι τῶν ἐκκλησιῶν, ὡς ἂν δὴ μάρτυρας ὁμοῦ καὶ ἀπὸ γένους ὄντας τοῦ κυρίου, γενομένης τε εἰρήνης μέχρι Τραϊανοῦ παραμεῖναι αὐτοὺς τῷ βίῳ.

V.

V.

HISTORIA DE JOANNE APOSTOLO.

(Ex libello Clementis Alex. τίς ὁ σωζόμενος πλούσιος.)

Ex Clemente Alex. Eusebius hanc historiam inseruit H. E. III, 23. — Nulla est causa dubitandi, quin genuina sit haec historia, quae animum moresque Joannis optime describit.

Ἄκουσον μῦθον, οὐ μῦθον, ἀλλὰ ὄντα λόγον περὶ Ἰωάννου τοῦ ἀποστόλου παραδεδομένον καὶ μνήμῃ πεφυλαγμένον. Ἐπειδὴ γὰρ τοῦ τυράννου τελευτήσαντος [1], ἀπὸ τῆς Πάτμου τῆς νήσου μετῆλθεν ἐπὶ τὴν Ἔφεσον, ἀπῄει παρακαλούμενος καὶ ἐπὶ τὰ πλησιόχωρα τῶν ἐθνῶν, ὅπου μὲν ἐπισκόπους καταστήσων, ὅπου δὲ ὅλας ἐκκλησίας ἁρμόσων, ὅπου δὲ κλήρῳ [2] ἕνα γέ τινα κληρώσων τῶν ὑπὸ τοῦ πνεύματος σημαινομένων. Ἐλθὼν οὖν καὶ ἐπί τινα τῶν οὐ μακρὰν πόλεων, ἧς καὶ τοὔνομα λέγουσιν ἔνιοι [3],

---

1) Domitianum significat, quo regnante Joannem in fervens oleum conjectum et deinde in insulam Patmon in exilium actum esse, narrat Tertull. de praescr. haer. c. 14.

2) Alii legunt κλῆρον.

3) Autor chronici Alexandrini Smyrnam vocat urbem; episcopum volunt quidam fuisse Polycarpum, nomen vero ejus omisisse credunt Clementem, ne maculam sancto martyri adspergeret.

καὶ τὰ ἄλλα ἀναπαύσας τοὺς ἀδελφοὺς, ἐπὶ πᾶσι τῷ καθεστῶτι προσβλέψας ἐπισκόπῳ, νεανίσκον ἱκανὸν τῷ σώματι καὶ τὴν ὄψιν ἀστεῖον καὶ θερμὸν τὴν ψυχὴν ἰδὼν, τοῦτον, ἔφη, σοὶ παρακατατίθεμαι μετὰ πάσης σπουδῆς ἐπὶ τῆς ἐκκλησίας καὶ τοῦ Χριστοῦ μάρτυρος. Τοῦ δὲ δεχομένου, καὶ πάνθ' ὑπισχνουμένου, καὶ πάλιν τὰ αὐτὰ διελέγετο καὶ διεμαρτύρετο, καὶ ὁ μὲν ἐπὶ τὴν Ἔφεσον ἀπῆρεν. Ὁ δὲ πρεσβύτερος ἀναλαβὼν οἴκαδε τὸν παραδοθέντα νεανίσκον ἔτρεφε, συνεῖχεν, ἔθαλπε, τὸ τελευταῖον ἐφώτισε [4]), καὶ μετὰ τοῦτο ὑφῆκε τῆς πλείονος ἐπιμελείας καὶ παραφυλακῆς, ὡς τὸ τέλειον αὐτῷ φυλακτήριον ἐπιστήσας τὴν σφραγῖδα τοῦ κυρίου [5]). Τῷ δὲ ἀνέσεως πρὸ ὥρας λαβομένῳ προσφθείρονταί τινες ἥλικες ἀργοὶ καὶ ἀπερρωγότες, ἐθάδες κακῶν, καὶ πρῶτον μὲν δι' ἑστιάσεων πολλῶν πολυτελῶν αὐτὸν ἐπάγονται· εἶτά που καὶ νύκτωρ ἐπὶ λωποδυσίαν ἐξιόντες συνεπάγονται, εἶτά τι καὶ μεῖζον συμπράττειν ἠξίουν. Ὁ δὲ κατ' ὀλίγον προσειθίζετο, καὶ διὰ μέγεθος φύσεως ἐκστὰς ὥσπερ ἄστομος καὶ εὔρωστος ἵππος ὀρθῆς ὁδοῦ, καὶ τὸν χαλινὸν ἐνδακὼν, μειζόνως κατὰ τῶν βαράθρων ἐφέρετο. Ἀπογνοὺς δὲ τελέως τὴν ἐν Θεῷ σωτηρίαν, οὐδὲν ἔτι μικρὸν διενοεῖτο, ἀλλὰ μέγα τι πράξας, ἐπειδήπερ ἅπαξ ἀπολώλει, ἴσα τοῖς ἄλλοις παθεῖν ἠξίου. αὐτοὺς δὴ

4) Φωτίζειν idem quod βαπτίζειν apud veteres ecclesiae scriptores et φώτισμα i. q. βάπτισμα.

5) Σφραγὶς κυρίου. Intelligit baptismum, quod saepius ita vocatur; latini dicunt: signaculum fidei.

ἑταίρους ἀναλαβὼν καὶ ληστήριον συγκροτήσας, ἕτοιμος λῄσταρχος ἦν, βιαιότατος, μιαιφονώτατος, χαλεπώτατος. Χρόνος ἐν μέσῳ, καί τινος ἐπιπεσούσης χρείας ἀνακαλοῦσι τὸν Ἰωάννην. Ὁ δὲ ἐπειδὴ τὰ ἄλλα, ὧν χάριν ἧκε, κατεστήσατο, ἄγε δὴ, ἔφη, ὦ ἐπίσκοπε, τὴν παρακαταθήκην ἀπόδος ἡμῖν, ἣν ἐγώ τε καὶ ὁ σωτὴρ σοι παρακατεθέμεθα ἐπὶ τῆς ἐκκλησίας, ἧς προκαθέζῃ μάρτυρος. Ὁ δὲ τὸ μὲν πρῶτον ἐξεπλάγη, χρήματα οἰόμενος, ἅπερ οὐκ ἔλαβε, συκοφαντεῖσθαι, καὶ οὔτε πιστεύειν εἶχεν, ὑπὲρ ὧν οὐκ εἶχεν, οὔτε ἀπιστεῖν Ἰωάννῃ. Ὡς δὲ τὸν νεανίσκον, εἶπεν, ἀπαιτῶ καὶ τὴν ψυχὴν τοῦ ἀδελφοῦ, στενάξας κάτωθεν ὁ πρεσβύτης καί τι καὶ ἐπιδακρύσας, ἐκεῖνος, ἔφη, τέθνηκε. Πῶς, καὶ τίνα θάνατον; Θεῷ τέθνηκεν, εἶπεν· ἀπέβη γὰρ πονηρὸς καὶ ἐξώλης, καὶ τὸ κεφάλαιον ληστής, καὶ νῦν ἀντὶ τῆς ἐκκλησίας τὸ ὄρος κατείληφε μεθ' ὁμοίου στρατιωτικοῦ. Καταῤῥηξάμενος οὖν τὴν ἐσθῆτα ὁ ἀπόστολος, καὶ μετὰ μεγάλης οἰμωγῆς πληξάμενος τὴν κεφαλὴν, καλόν γε, ἔφη, φύλακα τῆς τοῦ ἀδελφοῦ ψυχῆς κατέλιπον· ἀλλ' ἵππος ἤδη μοι παρέστω, καὶ ἡγεμὼν γενέσθω μοί τις τῆς ὁδοῦ. Ἤλαυνεν ὥσπερ εἶχεν, αὐτόθεν ἀπὸ τῆς ἐκκλησίας. Ἐλθὼν δὲ εἰς τὸ χωρίον, ὑπὸ τῆς προφυλακῆς τῶν ληστῶν ἁλίσκεται, μήτε φεύγων, μήτε παραιτούμενος, ἀλλὰ βοῶν, ἐπὶ τοῦτ' ἐλήλυθα, ἐπὶ τὸν ἄρχοντα ὑμῶν ἀγάγετέ με. Ὃς τέως ὥσπερ ὥπλιστο, ἀνέμενεν· ὡς δὲ προσιόντα ἐγνώρισε τὸν Ἰωάννην, εἰς φυγὴν αἰδεσθεὶς ἐτράπετο. Ὁ δὲ ἐδίωκεν ἀνακράτος, ἐπιλαθόμενος

τῆς ἡλικίας τῆς ἐμαυτοῦ κεκραγώς· τί με φεύγεις, τέκνον, τὸν σαυτοῦ πατέρα, τὸν γυμνόν, τὸν γέροντα; ἐλέησόν με, τέκνον, μὴ φοβοῦ· ἔχεις ἔτι ζωῆς ἐλπίδα, ἐγὼ Χριστῷ δώσω λόγον ὑπὲρ σοῦ· ἂν δέῃ, τὸν σὸν θάνατον ἑκὼν ὑπομενῶ, ὡς ὁ κύριος τὸν ὑπὲρ ἡμῶν, ὑπὲρ σοῦ τὴν ψυχὴν ἀντιδώσω τὴν ἐμήν. στῆθι, πίστευσον. Χριστός με ἀπέστειλεν. Ὁ δὲ ἀκούσας, πρῶτον μὲν ἔστη κάτω βλέπων, εἶτα ἔρριψε τὰ ὅπλα, εἶτα τρέμων ἔκλαιε πικρῶς. Προσελθόντα δὲ τὸν γέροντα περιέλαβεν, ἀπολογούμενος ταῖς οἰμωγαῖς ὡς ἐδύνατο, καὶ τοῖς δάκρυσι βαπτιζόμενος ἐκ δευτέρου, μόνην ἀποκρύπτων τὴν δεξιάν. Ὁ δὲ ἐγγυώμενος, ἐπομνύμενος, ὡς ἄφεσιν αὐτῷ παρὰ τοῦ σωτῆρος εὕρηται, δεόμενος, γονυπετῶν, αὐτὴν τὴν δεξιὰν ὡς ὑπὸ τῆς μετανοίας κεκαθαρμένην καταφιλῶν, ἐπὶ τὴν ἐκκλησίαν ἐπανήγαγε, καὶ δαψιλέσι μὲν εὐχαῖς ἐξαιτούμενος, συνεχέσι δὲ νηστείαις συναγωνιζόμενος, ποικίλαις δὲ ῥήσεσι 6) λόγων κατεπᾴδων αὐτοῦ τὴν γνώμην, οὐ πρότερον ἀπῆλθεν, ὥς φασι, πρὶν αὐτὸν κατέστησε τῇ ἐκκλησίᾳ, διδοὺς μέγα παράδειγμα μετανοίας ἀληθινῆς καὶ μέγα γνώρισμα παλιγγενεσίας, τρόπαιον ἀναστάσεως ἐλπιζομένης.

6) Strothius, quod jam probaverat Valesius in notis legit σειρῆσι; praetuli lectionem ῥήσεσι quam optimorum codd. autoritas tuetur. Sunt vero ῥήσεις λόγων dicta librorum sacrorum, quibus Apostolus juvenem ad μετάνοιαν adduxit. Σειρῆνες λόγων [illegible] aptum mihi videtur hoc loco.

CAPUT SECUNDUM.

MONUMENTA AD HISTORIAM PERSECUTIONUM NOMINIS CHRISTIANI PERTINENTIA.

I.

C. PLINII CAECILII SECUNDI EPISTOLA AD TRAIANUM IMPERATOREM.

(Epistt. Plinii X, 97.)

Epistolam hanc, inter primaevae ecclesiae monumenta fere primum, scripsit Plinius cum pro Praetore, consulari potestate Bithyniam et Pontum regeret, anno Trajani nono h. e. post Chr. n. anno 107.

Cajus Plinius Trajano Imp. S.

Solenne est mihi, Domine, omnia de quibus dubito, ad te referre. Quis enim potest melius vel cunctationem meam regere, vel ignorantiam instruere? Cognitionibus de Christianis interfui nunquam: ideo nescio quid et quatenus aut puniri soleat, aut quaeri. Nec mediocriter haesitavi, sitne aliquod discrimen aetatum, an quamlibet teneri nihil a robustioribus differant; deturne poenitentiae venia, an ei qui omnino Christianus fuit, desisse non prosit: nomen ipsum etiamsi flagitiis careat,

an flagitia cohaerentia nomini puniantur. Interim in iis, qui ad me tanquam Christiani deferebantur, hunc sum secutus modum. Interrogavi ipsos, an essent Christiani. Confitentes iterum ac tertio interrogavi, supplicium minatus: perseverantes duci jussi. Neque enim dubitabam, qualecunque esset quod faterentur, pervicaciam certe et inflexibilem obstinationem debere puniri. Fuerunt alii similis amentiae: quos quia cives Romani erant, annotavi in urbem remittendos. Mox ipso tractatu, ut fieri solet, diffundente se crimine, plures species inciderunt. Propositus est libellus sine autore, multorum nomina continens, qui negarent, se esse Christianos, aut fuisse, cum praeeunte me Deos appellarent, et imagini tuae, quam propter hoc jusseram cum simulacris numinum afferri, thure ac vino supplicarent, praeterea maledicerent Christo: quorum nihil cogi posse dicuntur, qui sunt revera Christiani. Ergo dimittendos putavi. Alii ab indice nominati, esse se Christianos dixerunt, et mox negaverunt: fuisse quidem, sed desisse, quidam ante triennium, quidam ante plures annos, non nemo etiam ante viginti quoque. Omnes et imaginem tuam, Deorumque simulacra venerati sunt; et Christo maledixerunt. Affirmabant autem, hanc fuisse summam vel culpae suae vel erroris, quod essent soliti stato die ante lucem convenire, carmenque Christo quasi Deo di-

esse secum invicem, seque sacramento, non in scelus aliquod obstringere, sed ne furta, ne latrocinia, ne adulteria committerent, ne fidem fallerent, ne depositum appellati abnegarent; quibus peractis, morem sibi discedendi fuisse rursusque coëundi ad capiendum cibum, promiscuum tamen et innoxium [1]: quod ipsum facere desisse post edictum meum, quo secundum mandata tua hetaerias esse vetueram. Quo magis necessarium credidi, ex duabus ancillis, quae ministrae dicebantur [2], quid esset veri et per tormenta quaerere. Sed nihil aliud inveni, quam superstitionem pravam, immodicam. Ideo dilata cognitione ad consulendum te decurri. Visa est enim mihi res digna consultatione, maxime propter periclitantium numerum. Multi enim omnis aetatis, omnis ordinis, utriusque sexus etiam, vocantur in periculum, et vocabuntur: neque enim civitates tantum, sed vicos etiam atque agros superstitionis istius contagio pervagata est. Quae videtur sisti et corrigi posse. Certe satis constat, prope jam desolata templa coepisse celebrari, et sacra solennia diu intermissa repeti passimque venire victimas, quarum adhuc rarissimus emtor

---

1) Haec adjicit Plinius propter crimen δείπνων Θυεστείων saepius christianis factum.

2) Diaconissae sine dubio erant.

inveniebatur. Ex quo facile est opinari, quae turba hominum emendari possit, si sit poenitentiae locus.

II.

RESPONSUM TRAJANI AD PLINIUM.

(In epist. Plinii X. 98.)

Graviter Tertullianus Trajanum increpat ob hanc epistolam (in apol. c. 2.) sed sine causa idonea. Lenitatem erga Christianos adhiberi vult imperator: ne conquirantur Christiani, neque libelli sine autore locum habeant scribit; delatos vero nec negantes se esse Christianos puniri jubet, erat enim religio Christiana illicita.

Trajanus Plinio S.

Actum, quem debuisti, mi Secunde, in excutiendis causis eorum, qui Christiani ad te delati fuerant, secutus es. Neque enim in universum aliquid, quod quasi certam formam habeat, constitui potest. Conquirendi non sunt, si deferantur et arguantur puniendi sunt; ita tamen, ut qui negaverit se Christia-

num esse, idque re ipsa manifestum fecerit, i. e. supplicando Diis nostris, quamvis suspectus in praeteritum fuerit, veniam ex poenitentia impetret. Sine autore vero propositi libelli nullo crimine 1) locum habere debent. Nam et pessimi exempli, nec nostri seculi est.

III.

EPISTOLA ADRIANI AD SERVIANUM.

Epistolam hanc nobis exhibet Flavius Vopiscus, unus scriptorum historiae Augustae in vita Saturnini c. 2. Multum facit ad cognoscendam religionis conditionem Alexandriae, et docet quid ipse Adrianus senserit de cultu unius Dei et de religione christiana. Epistola desumta est ex libris Phlegontis liberti Adriani, ut ipse Vopiscus prodit.

Adrianus Aug. Serviano Cos. S. 2)

Aegyptum, quam mihi laudabas, Serviane carissime, totam didici levem, pendulam et

1) Pro: nulli crimini; et forsan ita rectius legitur.

2) Servianus Adriani sororem Paulinam in matrimonium duxerat. (cf. Ael. Spartiani vit. Adr. c. 1.) Xiphilinus, Dionis

ad omnia famae momenta volitantem. Illic qui Serapin colunt, Christiani sunt, et devoti sunt Serapi, qui se Christi episcopos dicunt. Nemo illic archisynagogus Judaeorum, nemo Christianorum presbyter non mathematicus, non aruspex, non aliptes. Ipse ille patriarcha cum Aegyptum venerit, ab aliis Serapidem adorare, ab aliis cogitur Christum. [2]) Genus hominum seditiosissimum, vanissimum, injuriosissimum: civitas opulenta, dives, foecunda, in qua nemo vivat otiosus. Alii vitrum conflant, ab aliis charta conficitur; alii linyphiones sunt; omnes certe cujuscunque artis et videntur et habentur. Podagrosi quod agant habent; habent caeci quod faciant; ne chiragrici quidem apud eos otiosi vivunt. Unus illis Deus est, hunc Christiani, hunc Judaei, hunc omnes venerantur et gentes; et utinam melius morata esset civitas, digna profecto sui profunditate, quae pro sui magnitudine totius Aegypti teneat principatum. Huic ego cuncta concessi, vetera privilegia reddidi,

---

Cassii (Epitomator ad Zonaras scribunt Severianus, sed Servianus vera lectio esse videtur. Nonagesimum jam annum agentem Servianum mori coëgit Adrianus ne sibi superviveret (Ibid. c. 15.)

2) Quae de cultu judaico, gentili, christiano mixto et confuso scribit imperator, non tam ficta sunt, quam perperam intellecta. Gnosticorum inprimis sectas judaica et gentilia christianis miscuisse scimus; jam de Christianis in universum narrat imperator, quod singuli peccaverant, in ipsos ipse Christianorum [illegible] [illegible] a nomine christiano prohibuit.

[illegible] sine adulti, ut [illegible] agerent, [illegible] inde discessi et qui filium [illegible]. Verum multa dixerunt et de Antonino, quae [illegible] credo. [illegible] quemadmodum foecundant, pudet dicere. Calices tibi allassontes versicolores transmisi, quos mihi sacerdos templi obtulit, tibi et sorori meae specialiter dedicatos, quos tu velim festis diebus conviviis adhibeas. Caveas tamen ne his Africanus noster indulgenter utatur.

IV.

AELII LAMPRIDII LOCUS DE ADRIANO.

(Vita Alex. Severi c. 43)

Christo templum facere voluit [1]) eumque inter Deos recipere. Quod et Adrianus cogitasse fertur, qui templa in omnibus civitatibus sine simulacris jusserat fieri [2]); quae hodie id-

1) Sc. Alexander Severus, de quo agit Ael. Lampridius. De Alexandro Aelius in vit. c. 29. ait: „in larario suo divos principes, sed quoque optimos electos et animas sanctiores in queis et Apollonium et quantum scriptor suorum temporum dicit, Christum, Abraham et Orpheum et hujuscemodi Deos habebat ac majorum effigies.“

2) Nemo veterum talia de Adriano profert et sine dubio fallitur Aelius hac in re. Erant enim quaedam templa illo tempore

deos, quia nulla haberent numina, dicuntur Adria-nia. quae ille ad hoc parasse dicebatur: sed prohibitus est ab iis, qui consulentes sacra reppererant omnes Christianos futuros, si id optato evenisset et templa reliqua deserenda.

V.

EPISTOLA HADRIANI AD MINUCIUM FUNDANUM

In Eus. H. E. IV, 9.

Genuinam esse hanc epistolam praeter ipsius indolem docent verba Melitonis apud Eus. H. E. IV, 26. Exemplar latinum Justinus M. adjecerat in calce apologiae majoris, sed hoc aetatem non tulit; versio graeca Eusebii obscura est, adjeci igitur versionem Rufini latinam.

Μινουκίῳ Φουνδάνῳ.

Ἐπιστολὴν ἐδεξάμην γραφεῖσάν μοι ἀπὸ Σε-

'Αδριάνεια dicta, sine simulacris et non dedicata: at non haec Christo, etenim jusserat Adrianus, quod sibi finxit Aelius, sed sibi ipsi. Cum vero Adrianus moreretur priusquam absolverentur templa, pleraque manere imperfecta, nec unquam sunt dedicata. Ita Epiph. haer. Ebionit. Opp. T. I, p. 136. ναὸς μέγιστος, ait, ἐν τῇ πόλει Τιβεριάδι προϋπῆρχε· τάχα, οἶμαι, Ἀδριάνειον τοῦτο ἐκάλουν. Ἀτελὲς δὲ τοῦτο τὸ Ἀδριάνειον ἐναπομεῖναν οἱ πολῖται εἰς δημόσιον λουτρὸν ἐπεχείρουν ἀνανεώσασθαι.

ρεννίου Γρανιανοῦ, λαμπροτάτου ἀνδρὸς, ὃν σὺ διεδέξω [1]). Οὐ δοκεῖ μοι οὖν τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται, καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας παρασχεθῇ. Εἰ οὖν σαφῶς εἰς ταύτην τὴν ἀξίωσιν οἱ ἐπαρχιῶται δύνανται διισχυρίζεσθαι κατὰ τῶν χριστιανῶν, ὡς καὶ πρὸ βήματος ἀποκρίνεσθαι, ἐπὶ τοῦτο μόνον τραπῶσιν, ἀλλ' οὐκ ἀξιώσεσιν [2]), οὐδὲ μόναις βοαῖς [3]). Πολλῷ γὰρ μᾶλλον προσῆκεν, εἴ τις κατηγορεῖν βούλοιτο, τοῦτό σε διαγινώσκειν. Εἴ τις οὖν κατηγορεῖ, καὶ δείκνυσί τι παρὰ τοὺς νόμους πράττοντας, οὕτως ὅριζε κατὰ τὴν δύναμιν τοῦ ἁμαρτήματος· ὡς μὰ τὸν Ἡρακλέα εἴ τις συκοφαντίας χάριν τοῦτο προτείνοι, διαλάμβανε ὑπὲρ τῆς δεινότητος, καὶ φρόντιζε ὅπως ἂν ἐκδικήσειας.

Eadem epistola ex versione Rufini.

Accepi literas ad me scriptas a decessore tuo, Serennio Graniano, clarissimo viro, et non placet mihi relationem silentio praeterire, ne et innoxii perturbentur, et calumniatoribus latrocinandi tribuatur occasio. Itaque si evi-

1) Serennius Granianus et Minucius Fundanus praesides erant Asiae proconsularis.

2) ἀξιώσεις recte monet Valesius, acclamationes esse plebis in theatris, quibus Christianos ad supplicium postulare solebant gentiles.

3) Supple χρῶνται ad μόναις βοαῖς. Vales.

denter provinciales huic petitioni suae adesse valent adversum Christianos, ut pro tribunali eos in aliquo arguant, hoc eis exsequi non prohibeo. Precibus autem in hoc solis et acclamationibus uti eis non permitto. Etenim multo aequius est, si quis volet accusare et cognoscere de objectis. Si quis igitur accusat et probat adversum leges quicquam agere memoratos homines, pro merito peccatorum etiam supplicia statues. Illud mehercule magnopere curabis, ut si quis calumniae gratia quenquam horum postulaverit reum, in hunc pro sua nequitia suppliciis saevioribus vindices.

VI.

EDICTUM ANTONINI AD COMMUNE ASIAE.

(Ex Euseb. H. E. IV, 13)

Hoc edictum etsi ab Eusebio ad Antoninum Pium referatur, tamen in fronte gerit M. Aurelii nomen. Codd. historiae eccl. Eusebii lectiones varias non exhibent. Iustinus M. in calce apologiae aliam hujus edicti recensionem habet, Antoninum Pium in

titulo

[illegible], quam adjeci, cum versione Rufini. Inter viros doctos Valesius, editor historiae ecclesiasticae Eusebianae, Marco Aurelio edictum vindicat, Moshemius Antonini Pii esse censet; aliis interpolatum esse videtur. Mihi tam propter textus corruptionem, quam propter verborum sensum, ab imperatoris gentilis animo prorsus abhorrentem, persuasum est, non esse genuinum hoc edictum πρὸς τὸ Κοινὸν τῆς Ἀσίας, sed a Christiano confictum. Legatur imprimis Eus. V, 21. historia Apollonii, quae satis docet ejusmodi edictum non exstitisse.

Edictum Antonini ex Eusebio.

Αὐτοκράτωρ Καῖσαρ Μάρκος Αὐρήλιος Ἀντωνῖνος Σεβαστὸς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ πέμπτον καὶ δέκατον, ὕπατος τὸ τρίτον τῷ Κοινῷ [1]) τῆς Ἀσίας χαίρειν.

Ἐγὼ μὲν οἶδ' ὅτι καὶ τοῖς Θεοῖς ἐπιμελές ἐστι, μὴ λανθάνειν τοὺς τοιούτους [2]). Πολὺ γὰρ

---

1) Κοινὸν τῆς Ἀσίας commune Asiae h. e. conjunctio, quae inter Asiae minoris oppida intercedebat, quorum caput erat Ephesus. Per se quoque Ephesus κοινὸν τ. Ἀ. dicitur, ut in fine epistolae.

2) τοιοῦτοι respicit ad litteras ab Asianis Caesari missas, supplendum est περὶ ὧν ἐγράψατέ μοι. Significatur Christianorum cohors.

μᾶλλον ἐκεῖνοι κολάσαιεν ἂν τοὺς μὴ βουλομένους αὐτοῖς προσκυνεῖν, ἢ ὑμεῖς· οὓς εἰς ταραχὴν ἐμβάλλετε, βεβαιοῦντες τὴν γνώμην αὐτῶν, ἥνπερ ἔχουσιν [3], ὡς ἀθέων κατηγοροῦντες. Εἴη δ' ἂν κἀκείνοις αἱρετὸν, τὸ δοκεῖν κατηγορουμένους τεθνάναι μᾶλλον ἢ ζῆν ὑπὲρ τοῦ οἰκείου Θεοῦ [4]. Ὅθεν καὶ νικῶσι προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς, ἤπερ πειθόμενοι οἷς ἀξιοῦτε πράττειν αὐτούς. Περὶ δὲ τῶν σεισμῶν [5]) τῶν γεγονότων καὶ γινομένων οὐκ ἄτοπον ὑμᾶς ὑπομνῆσαι, ἀθυμοῦντας μὲν ὅταν περ ὦσι, παραβάλλοντας δὲ τὰ ὑμέτερα [6]) πρὸς τὰ ἐκείνων. Οἱ μὲν οὖν εὐπαῤῥησιαστότεροι γίνονται πρὸς τὸν Θεόν· ὑμεῖς δὲ παρὰ πάντα τὸν χρόνον, καθ' ὃν ἀγνοεῖν δοκεῖτε τῶν τε Θεῶν καὶ τῶν ἄλλων ἀμελεῖτε καὶ τῆς Θρησκείας τῆς περὶ τὸν ἀθάνατον, ὃν δὴ τοὺς Χριστιανοὺς Θρησκεύοντας ἐλαύνετε καὶ διώ-

---

3) Scil. περὶ ἡμῶν, quod legitur in Nicephoro. Οἱ κατηγοροῦντες sunt Christiani, ethnicos ἀθεότητος accusantes, quoniam Deorum contemtores tormentis vexassent, quos rectius ipsis Diis puniendos reliquissent; sic enim Deorum vim ac potestatem negare ipsis videbantur.

4) Ordo verborum hic est: εἴη δ' ἂν κἀκείνοις τὸ δοκεῖν κατηγορουμένους ὑπὲρ τοῦ οἰκείου Θεοῦ αἱρετὸν μᾶλλον τεθνάναι, ἢ ζῆν.

5) Qui hoc edictum Antonini Pii esse volunt, provocant ad Capitolinum in vita Anton. P. c. 9. qui narrat regnante Pio [illegible] in Asia terrae motum.

6) ὑμέτερα praeferendum est lectioni ἡμέτερα, quam retinuit Valesius. — Sed ita ut haec verba leguntur, sensum non fundunt. Legendum est παραβάλλετε vel παραβάλλοντας δὲ μή. Omissis quoque μὲν — δὲ bene fluit oratio.

κατὰ τῶν θανάτων[7]). Ὑπὲρ δὲ τῶν τοιούτων ἤδη καὶ πολλοὶ τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων καὶ τῷ θειοτάτῳ ἡμῶν ἔγραψαν πατρί· οἷς καὶ ἀντέγραψε μηδὲν ἐνοχλεῖν τοῖς τοιούτοις, εἰ μὴ ἐμφαίνοιντό τι περὶ τὴν Ῥωμαίων ἡγεμονίαν ἐγχειροῦντες· καὶ ἐμοὶ δὲ περὶ τῶν τοιούτων πολλοὶ ἐσήμαναν. Οἷς δὴ καὶ ἀντέγραψα κατακολουθῶν τῇ τοῦ πατρὸς γνώμῃ. Εἰ δέ τις ἐπιμένοι τινὰ τῶν τοιούτων εἰς πράγματα φέρειν, ὡς δὴ τοιοῦτον, ἐκεῖνος ὁ καταφερόμενος ἀπολελύσθω τοῦ ἐγκλήματος καὶ ἐὰν φαίνηται τοιοῦτος ὤν· ὁ δὲ καταφέρων, ἔνοχος ἔσται δίκης.

Προετέθη ἐν Ἐφέσῳ ἐν τῷ Κοινῷ τῆς Ἀσίας.

Item edictum ex Iustino.

Αὐτοκράτωρ Καῖσαρ, Τίτος Αἴλιος Ἀδριανὸς Ἀντωνῖνος Σεβαστός, Εὐσεβής, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ ιε. ὕπατος τὸ γ. πατὴρ πατρίδος τὸ κα. τῷ Κοινῷ τῆς Ἀσίας χαίρειν.

Ἐγὼ ᾤμην (ὅτι) καὶ τοὺς θεοὺς ἐπιμελὲς ἔσεσθαι μὴ λανθάνειν τοὺς τοιούτους, πολὺ γὰρ μᾶλλον ἐκείνους κολάσειαν, εἴπερ δύναιντο, τοὺς μὴ βουλομένους αὐτοῖς προσκυνεῖν, οἷς ταραχὴν ὑμεῖς ἐμβάλλετε καὶ τὴν γνώμην αὐτῶν, ἥνπερ

7) Haec ex imperatoris ethnici ingenio certe profecta non sunt.

8) Aut Adrianum aut M. Antoninum intelligunt prout edictum hoc Antonini P. seu M. Aurelii esse censent, quorum Adrianus Minucio Fundano, Antoninus pluribus Asiae civitatibus (Eus. H. E. IV, 26) pro Christianis scripsit.

ἔχουσιν ὡς ἀθέων κατηγορεῖτε καὶ ἕτερά τινα ἐμβάλλετε, ἅτινα οὐ δυνάμεθα ἀποδεῖξαι. Εἴη δ' ἂν ἐκείνοις χρήσιμον τὸ δοκεῖν ἐπὶ τῷ κατηγορουμένῳ τεθνάναι. Καὶ νικῶσιν ὑμᾶς, προϊέμενοι τὰς ἑαυτῶν ψυχάς, ἤπερ πειθόμενοι οἷς ἀξιοῦτε πράσσειν αὐτούς. Περὶ δὲ τῶν σεισμῶν τῶν γεγονότων καὶ τῶν γινομένων οὐκ εἰκὸς ὑπομνῆσαι ὑμᾶς ἀθυμοῦντας, ὅταν περ ὦσι, παραβάλλοντας τὰ ὑμέτερα πρὸς τὰ ἐκείνων, ὅτι εὐπαρρησιαστότεροι ὑμῶν γίνονται πρὸς τὸν Θεόν. Καὶ ὑμεῖς μὲν ἀγνοεῖν δοκεῖτε παρ' ἐκεῖνον τὸν χρόνον τοὺς Θεοὺς καὶ τῶν ἱερῶν ἀμελεῖτε, θρησκείαν δὲ τὴν περὶ τὸν Θεὸν οὐκ ἐπίστασθε, ὅθεν καὶ τοὺς θρησκεύοντας ἐζηλώκατε καὶ διώκετε ἕως θανάτου. Ὑπὲρ τῶν τοιούτων καὶ ἄλλοι τινὲς τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων, τῷ θειοτάτῳ μου πατρὶ ἔγραψαν· οἷς καὶ ἀντέγραψε μηδὲν ὀχλεῖν τοῖς τοιούτοις, εἰ μὴ φαίνοιντό τι ἐπὶ τὴν ἡγεμονίαν Ῥωμαίων ἐγχειροῦντες. Καὶ ἐμοὶ δὲ περὶ τῶν τοιούτων πολλοὶ ἐσήμαναν· οἷς δὴ καὶ ἀντέγραψα, τῇ τοῦ πατρός μου κατακολουθῶν γνώμῃ. Εἰ δέ τις ἔχει πρός τινα τῶν τοιούτων πρᾶγμα καταφέρειν ὡς τοιούτου, ἐκεῖνος ὁ καταφερόμενος ἀπολελύσθω τοῦ ἐγκλήματος, κἂν φαίνηται τοιοῦτος ὤν. Ἐκεῖνος δὲ ὁ καταφέρων, ἔνοχος ἔσται τῇ δίκῃ.

Versio ejusdem edicti Rufiniana.

Imperator Caesar Marcus Aurelius Antoninus Augustus, Armenicus, Pontifex Maxi-

mus, Tribunitiae potestatis XV. Cos. III., universis simul plebibus Asiae salutem.

Ego quidem non ambigo, etiam Diis ipsis curae esse, ne quis noxius lateat. Multo enim magis illis convenit punire eos, qui ipsis immolare nolunt, quam vobis. Sed vos confirmatis eorum, quos persequimini sententiam quam de vobis habent, dicentes, vos impios et sine Deo esse; unde et optabilius habent, animam ponere pro Deo suo et mortem libenter amplecti quam vobis talibus acquiescere et in vestrae religionis jura concedere. De motibus autem terrae, qui vel facti sunt, vel etiam nunc fiunt, absurdum non erit, moerorem vestrum justa commonitione solari. Quoniam quidem comperi, quod in hujuscemodi rebus ad illorum invidiam communes casus transfertis. In quo illi quidem majorem fiduciam accipiunt apud Deum. Vos autem in omni tempore, quo de talibus ignoratis, ceteros quidem Deos negligitis; cultum vero immortalis Dei, quem Christiani colunt, expellitis et deturbatis, usque ad mortem cultores illius observantiae persequentes. Super quibus plurimi ex provinciis judices etiam venerabili patri nostro scripserant. Quibus rescriptum est ab eo, ut nihil omnino molestiae hujuscemodi hominibus generarent, nisi forte arguerentur aliquid adversum Romani regni statum moliri. Sed et mihi ipsi de his quamplurimi retulerunt. Quibus ego pater-

nam severitate sententiam pari moderatione rescripsi. Quod si quis persistit hujuscemodi hominibus absque ullo crimine movere negotia, ille quidem, qui delatus pro hoc nomine fuerit, absolvatur, etiamsi probet id esse, quod ei objicitur, Christianismum. Is autem qui crimen obtendit, reus poenae ipsius quam objecit existat.

VII.

SMYRNENSIUM EPISTOLA DE MORTE POLYCARPI.

Eus. H. E. IV, 15. hujus epistolae partem habet; integra diu latuit et nemo dubitabat, quin aetatis damno interierit, donec a doctissimo Angliae episcopo Jacobo Usserio, Armachano, Londini ex vetere codice manuscripto ederetur. Valesius in adnotationibus ad Eusebium ex hac editione Anglicana adjecit, quae omiserat Eusebius. Scripta est epistola M. Aurelio et L. Vero regnantibus, fere anno 168. p. Chr. n., non ita multo post martyrium Polycarpi.

Ἡ ἐκκλησία τοῦ Θεοῦ ἡ παροικοῦσα Σμύρναν, τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ, τῇ παροικούσῃ ἐν

Φιλομηλίῳ 1), καὶ πάσαις ταῖς κατὰ πάντα τόπον 2) τῆς ἁγίας καθολικῆς ἐκκλησίας παροικίαις 3)· ἔλεος, εἰρήνη καὶ ἀγάπη Θεοῦ πατρὸς καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληθυνθείη.

Ἐγράψαμεν ὑμῖν, ἀδελφοί, τὰ κατὰ τοὺς μαρτυρήσαντας καὶ τὸν μακάριον Πολύκαρπον, ὅστις ὥσπερ ἐπισφραγίσας τῇ μαρτυρίᾳ αὐτοῦ κατέπαυσε τὸν διωγμόν. Σχεδὸν γὰρ πάντα τὰ προάγοντα ἐγένετο, ἵνα ἡμῖν ὁ κύριος ἄνωθεν ἐπιδείξῃ τὸ κατὰ τὸ εὐαγγέλιον μαρτύριον· περιέμενε γὰρ ἵνα παραδοθῇ ὡς καὶ ὁ κύριος, ἵνα μιμηταὶ καὶ ἡμεῖς αὐτοῦ γενώμεθα· μὴ μόνον σκοποῦντες τὸ καθ᾽ ἑαυτούς, ἀλλὰ καὶ τὰ κατὰ τοὺς πέλας. Ἀγάπης γὰρ ἀληθοῦς καὶ βεβαίας ἐστὶν, μὴ μόνον ἑαυτὸν θέλειν σώζεσθαι, ἀλλὰ καὶ πάντας τοὺς ἀδελφούς. Μακάρια μὲν οὖν καὶ γενναῖα τὰ μαρτύρια πάντα, τὰ κατὰ τὸ θέλημα τοῦ Θεοῦ γεγονότα· χρὴ γὰρ εὐλαβεστέρους ἡμᾶς ὑπάρχοντας, τῷ Θεῷ τὴν κατὰ πάντων ἐξουσίαν ἀνατιθέναι· τὸ γὰρ γενναῖον αὐτῶν καὶ ὑπομονητικὸν καὶ φιλοδέσποτον, τίς

1) Urbs Lycaoniae, sive ut alii volunt Phrygiae. Eusebius [illegible]

2) Κατὰ πάντα τόπον. Conjectura est Valesii, ab ipso et Strothio in textum recepta. Codd. omnes, praeterea Rufinus et Nicephorus legunt κατὰ Πόντον quod quidem parum aptum videtur, cum Philomelium non sit urbs Ponti; contra omnium quidem codd. autoritatem conjecturae indulgere, durius videri potest, nec tamen recedendum esse putavi a lectione, quae jam in omnibus editionibus legitur.

3) παροικία urbis sive vici, διοίκησις vero provinciae vel praefecturae ecclesia; saepius tamen utraque vox commutatur.

οὐκ ἂν θαυμάσειεν; Οἳ μάστιξι μὲν καταξανθέντες, ὥστε μέχρι τῶν ἔσω φλεβῶν καὶ ἀρτηριῶν τὴν τῆς σαρκὸς οἰκονομίαν θεωρεῖσθαι, ὑπέμειναν, ὡς καὶ τοὺς περιεστῶτας ἐλεεῖν καὶ ὀδύρεσθαι· τοὺς δὲ καὶ εἰς τοσοῦτον γενναιότητος ἐλθεῖν, ὥστε μήτε βρύξαι μήτε στενάξαι τινὰ ἑαυτῶν, ἐπιδεικνυμένους ἅπασιν ἡμῖν, ὅτι ἐκείνῃ τῇ ὥρᾳ βασανιζόμενοι τῆς σαρκὸς ἀπεδήμουν οἱ μάρτυρες τοῦ Χριστοῦ, μᾶλλον δὲ ὅτι παρεστὼς ὁ κύριος ὡμίλει αὐτοῖς, καὶ προσέχοντες τῇ τοῦ Χριστοῦ χάριτι, τῶν κοσμικῶν κατεφρόνουν βασάνων διὰ μιᾶς ὥρας τὴν αἰώνιον κόλασιν ἐξαγοραζόμενοι· καὶ τὸ πῦρ ἦν αὐτοῖς ψυχρὸν τὸ τῶν ἀπηνῶν βασανιστῶν· πρὸ ὀφθαλμῶν γὰρ εἶχον φυγεῖν τὸ αἰώνιον καὶ μηδέποτε σβεννύμενον· καὶ τοῖς τῆς καρδίας ὀφθαλμοῖς ἀνέβλεπον τὰ τηρούμενα τοῖς ὑπομείνασιν ἀγαθά, ἃ οὔτε οὖς ἤκουσεν, οὔτε ὀφθαλμὸς εἶδεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἐκείνοις δὲ ὑπεδείκνυτο ὑπὸ τοῦ κυρίου, οἵπερ μηκέτι ἄνθρωποι, ἀλλ' ἤδη ἄγγελοι ἦσαν. Ὁμοίως δὲ καὶ εἰς τὰ θηρία κριθέντες χρόνον δεινὰς κολάσεις 4), κήρυκας 5) μὲν ὑποστρωννύμενοι, καὶ ἄλλαις ποικίλαις βασάνοις κολαφιζόμενοι, ἵνα, εἰ δυνηθείη, ὁ τύραννος διὰ τῆς ἐπιμόνου κολάσεως εἰς ἄρνησιν αὐτοὺς τρέψῃ· πολλὰ γὰρ ἐμηχανᾶτο κατ' αὐτῶν

4) Patricius Junius addit ἔπαθον ex conjectura. Locus mutilus esse videtur; in codicibus alia lectio non reperitur.

5) κήρυκες muricos, acutissimis spinis praediti, a buccini quadam similitudine κήρυκες dicti. Sir.

ὁ διάβολος· ἀλλὰ χάρις τῷ Θεῷ, κατὰ πάντων γὰρ οὐκ ἴσχυσεν. Ὁ γὰρ γενναιότατος Γερμανικὸς ἐπερρώννυεν αὐτῶν τὴν δειλίαν διὰ τῆς ἐν αὐτῷ ὑπομονῆς· ὃς καὶ ἐπισήμως ἐθηριομάχησεν. Βουλομένου γὰρ τοῦ ἀνθυπάτου [6] πείθειν αὐτὸν καὶ λέγειν τὴν ἡλικίαν αὐτοῦ κατοικτεῖραι, ἑαυτῷ ἐπεσπάσατο τὸ θηρίον προσβιασάμενος, τάχιον τοῦ ἀδίκου καὶ ἀνόμου βίου αὐτῶν ἀπαλλαγῆναι βουλόμενος. Ἐκ τούτου οὖν πᾶν τὸ πλῆθος θαυμάσας τὴν γενναιότητα τοῦ θεοφιλοῦς καὶ θεοσεβοῦς γένους τῶν χριστιανῶν, ἐπεβόησεν· αἶρε τοὺς ἀθέους· ζητείσθω Πολύκαρπος. Εἷς δὲ ὀνόματι Κόϊντος, Φρύξ, προσφάτως ἐληλυθὼς ἀπὸ τῆς Φρυγίας, ἰδὼν τὰ θηρία ἐδειλίασεν. Οὗτος δὲ ἦν ὁ παραβιασάμενος ἑαυτόν τε καί τινας προσελθεῖν ἑκόντας. Τοῦτον ὁ ἀνθύπατος πολλὰ ἐκλιπαρήσας, ἔπεισεν ὀμόσαι καὶ ἐπιθῦσαι. Διὰ τοῦτο οὖν, ἀδελφοί, οὐκ ἐπαινοῦμεν τοὺς προσιόντας ἑαυτοῖς, ἐπειδὴ οὐχ οὕτως διδάσκει τὸ εὐαγγέλιον. Ὁ δὲ θαυμασιώτατος Πολύκαρπος, τὸ μὲν πρῶτον ἀκούσας οὐκ ἐταράχθη, ἀλλ' ἐβούλετο κατὰ πόλιν μένειν· οἱ δὲ πλείους ἔπειθον αὐτὸν ὑπεξελθεῖν, καὶ ὑπεξῆλθεν εἰς ἀγρίδιον, οὐ μακρὰν ἀπέχον ἀπὸ τῆς πόλεως, καὶ ἔτριβε μετ' ὀλίγων νύκτα καὶ ἡμέραν οὐδὲν ἕτερον ποιῶν, ἢ προσευχόμενος περὶ πάντων καὶ τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν, ὅπερ ἦν σύνηθες αὐτῷ. Καὶ προσευχόμεν

6) Nomen ei erat Statius Quadratus.

οὐκ ἂν θαυμάσειεν; Οἱ μάστιξι μὲν καταξανθέντες, ὥστε μέχρι τῶν ἔσω φλεβῶν καὶ ἀρτηριῶν τὴν τῆς σαρκὸς οἰκονομίαν θεωρεῖσθαι, ὑπέμειναν, ὡς καὶ τοὺς περιεστῶτας ἐλεεῖν καὶ ὀδύρεσθαι· τοὺς δὲ καὶ εἰς τοσοῦτον γενναιότητος ἐλθεῖν, ὥστε μήτε βρύξαι, μήτε στενάξαι τινὰ ἑαυτῶν· ἐπιδεικνυμένους ἅπασιν ἡμῖν, ὅτι ἐκείνῃ τῇ ὥρᾳ βασανιζόμενοι τῆς σαρκὸς ἀπεδήμουν οἱ μάρτυρες Χριστοῦ, μᾶλλον δὲ ὅτι παρεστὼς ὁ κύριος ὡμίλει αὐτοῖς, καὶ προσέχοντες τῇ τοῦ Χριστοῦ χάριτι, τῶν κοσμικῶν κατεφρόνουν βασάνων διὰ μιᾶς ὥρας τὴν αἰώνιον κόλασιν ἐξαγοραζόμενοι· καὶ τὸ πῦρ ἦν αὐτοῖς ψυχρὸν τὸ τῶν ἀπηνῶν βασανιστῶν· πρὸ ὀφθαλμῶν γὰρ εἶχον φυγεῖν τὸ αἰώνιον καὶ μηδέποτε σβεννύμενον καὶ τοῖς τῆς καρδίας ὀφθαλμοῖς ἀνέβλεπον τὰ τηρούμενα τοῖς ὑπομείνασιν ἀγαθά, „ἃ οὔτε οὖς ἤκουσεν, οὔτε ὀφθαλμὸς ἴδεν, οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη, ἐκείνοις δὲ ὑπεδείκνυτο ὑπὸ τοῦ κυρίου, οἵπερ μηκέτι ἄνθρωποι, ἀλλ' ἤδη ἄγγελοι ἦσαν. Ὁμοίως δὲ καὶ εἰς τὰ θηρία κριθέντες χρόνον δεινὰς κολάσεις 4), κήρυκας 5) μὲν ὑποστρωννύμενοι καὶ ἄλλαις ποικίλαις βασάνοις κολαφιζόμενοι, ἵνα, εἰ δυνηθείη, ὁ τύραννος διὰ τῆς ἐπιμόνου κολάσεως εἰς ἄρνησιν αὐτοὺς τρέψῃ· πολλὰ γὰρ ἐμηχανᾶτο κατ' αὐτῶν

---

4) Patricius Junius addit ἔπαθον ex conjectura. Locus mutilus esse videtur; in codicibus alia lectio non reperitur.

5) κήρυκες muricis, acutissimis spinis praediti, a buccini quadam similitudine κήρυκες dicti. Sir.

ὁ διάβολος· ἀλλὰ χάρις τῷ Θεῷ, κατὰ πάντων γὰρ οὐκ ἴσχυσεν. Ὁ γὰρ γενναιότατος Γερμανικὸς ἐπεῤῥώννυεν αὐτῶν τὴν δειλίαν διὰ τῆς ἐν αὐτῷ ὑπομονῆς, ὃς καὶ ἐπισήμως ἐθηριομάχησεν. Βουλομένου γὰρ τοῦ ἀνθυπάτου [6]) πείθειν αὐτὸν καὶ λέγειν, τὴν ἡλικίαν αὐτοῦ κατοικτεῖραι, ἑαυτῷ ἐπεσπάσατο τὸ θηρίον προσβιασάμενος, τάχιον τοῦ ἀδίκου καὶ ἀνόμου βίου αὐτῶν ἀπαλλαγῆναι βουλόμενος. Ἐκ τούτου οὖν πᾶν τὸ πλῆθος θαυμάσαν τὴν γενναιότητα τοῦ θεοφιλοῦς καὶ θεοσεβοῦς γένους τῶν χριστιανῶν, ἐπεβόησεν· αἶρε τοὺς ἀθέους! ζητείσθω Πολύκαρπος! Εἷς δὲ ὀνόματι Κόϊντος, Φρύξ, προσφάτως ἐληλυθὼς ἀπὸ τῆς Φρυγίας, ἰδὼν τὰ θηρία ἐδειλίασεν. Οὗτος δὲ ἦν ὁ παραβιασάμενος ἑαυτόν τε καί τινας προσελθεῖν ἑκόντας. Τοῦτον ὁ ἀνθύπατος πολλὰ ἐκλιπαρήσας, ἔπεισεν ὀμόσαι καὶ ἐπιθῦσαι. Διὰ τοῦτο οὖν, ἀδελφοί, οὐκ ἐπαινοῦμεν τοὺς προσιόντας ἑαυτοῖς, ἐπειδὴ οὐχ οὕτως διδάσκει τὸ εὐαγγέλιον. Ὁ δὲ θαυμασιώτατος Πολύκαρπος, τὸ μὲν πρῶτον ἀκούσας οὐκ ἐταράχθη, ἀλλ' ἐβούλετο κατὰ πόλιν μένειν· οἱ δὲ πλείους ἔπειθον αὐτὸν ὑπεξελθεῖν. Καὶ ὑπεξῆλθεν εἰς ἀγρίδιον, οὐ μακρὰν ἀπέχον ἀπὸ τῆς πόλεως, καὶ ἔτριβε μετ' ὀλίγων νύκτα καὶ ἡμέραν οὐδὲν ἕτερον ποιῶν, ἢ προσευχόμενος περὶ πάντων καὶ τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν, ὅπερ ἦν σύνηθες αὐτῷ. Καὶ προσευχόμε-

6) Nomen ei erat Statius Quadratus.

τος ἐν ὀπτασίᾳ γέγονε πρὸ τριῶν ἡμερῶν τοῦ συλληφθῆναι αὐτὸν καὶ εἶδε τὸ προσκεφάλαιον αὐτοῦ ὑπὸ πυρὸς κατακαιόμενον, καὶ στραφεὶς εἶπεν πρὸς τοὺς συνόντας αὐτῷ προφητικῶς· Δεῖ με ζῶντα κατακαυθῆναι. Καὶ ἐπιμενόντων τῶν ζητούντων αὐτὸν, μετέβη εἰς ἕτερον ἀγρίδιον, καὶ εὐθέως ἐπέστησαν οἱ ζητοῦντες αὐτόν· καὶ μὴ εὑρόντες συνελάβοντο παιδάρια δύο, ὧν τὸ ἕτερον βασανιζόμενον ὡμολόγησεν· ἦν γὰρ καὶ ἀδύνατον λαθεῖν αὐτόν, ἐπεὶ καὶ οἱ προδιδόντες αὐτὸν οἰκεῖοι ὑπῆρχον. Καὶ ὁ εἰρήναρχος 7), ὁ καὶ κληρονόμος τὸ αὐτὸ ὄνομα, Ἡρώδης ἐπιλεγόμενος, ἔσπευδεν εἰς τὸ στάδιον αὐτὸν εἰσαγαγεῖν, ἵνα ἐκεῖνος μὲν τὸν ἴδιον κλῆρον ἀπαρτίσῃ, Χριστοῦ κοινωνὸς γενόμενος, οἱ δὲ προδόντες αὐτὸν τὴν αὐτοῦ τοῦ Ἰούδα ὑπόσχοιεν τιμωρίαν. Ἔχοντες οὖν τὸ παιδάριον, τῇ παρασκευῇ 8) δείπνου ὥραν ἐξῆλθον διωγμῖται καὶ ἱππεῖς, μετὰ τῶν συνήθων αὐτοῖς ὅπλων, ὡς ἐπὶ λῃστὴν τρέχοντες· καὶ ὀψὲ τῆς ὥρας συνεπελθόντες ἐκεῖνον μὲν εὗρον ἔν τινι δωματίῳ κατακείμενον ὑπερῴῳ· κἀκεῖθεν ἠδύνατο εἰς ἕτερον χωρίον ἀπελθεῖν. Ἀλλ' οὐκ ἠβουλήθη, εἰπών· τὸ θέλημα τοῦ κυρίου γενέσθω. Ἀκούσας οὖν τοὺς παρόντας καὶ καταβὰς διελέχθη αὐτοῖς. Θαυμαζόντων δὲ τῶν

7) εἰρήναρχοι dicebantur ad conservandam provinciae vel urbis pacem constituti, quorum erat seditiosos comprehendere et judicibus tradere. Str.

8) παρασκευή h. e. feria sexta seu dies Veneris, quem in memoriam mortis servatoris jejuniis celebrabant veteres Christiani.

προσορῶσι τὴν ἡλικίαν αὐτοῦ καὶ τὸ εὐσταθὲς τινὲς ἔλεγον· εἰ τοσαύτη ἐσπουδάσθη ἡ τοῦ συλληφθῆναι τοιοῦτον πρεσβύτην ἄνδρα; ἦν. Εὐθέως οὖν αὐτοῖς ἐκέλευσε παρατεθῆναι φαγεῖν καὶ πιεῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ ὅσον ἂν βούλωνται, ἐζητήσατο δὲ αὐτοὺς ἵνα δῶσιν αὐτῷ ὥραν προσεύξασθαι ἀδεῶς. Τῶν δὲ ἐπιτρεψάντων, σταθεὶς προσηύξατο, πλήρης ὢν τῆς χάριτος τοῦ Θεοῦ, οὕτως ὥστε ἐπὶ δύο ὥρας μὴ δύνασθαι σιωπῆσαι, καὶ ἐκπλήττεσθαι τοὺς ἀκούοντας, πολλούς τε μετανοεῖν ἐπὶ τῷ ἐληλυθέναι ἐπὶ τὸν οὕτω θεοπρεπῆ πρεσβύτην.

Ἐπεὶ 9) δέ ποτε κατέπαυσε τὴν προσευχήν, μνημονεύσας ἁπάντων καὶ τῶν πώποτε συμβεβληκότων αὐτῷ μικρῶν τε καὶ μεγάλων, ἐνδόξων τε καὶ ἀδόξων, καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην καθολικῆς ἐκκλησίας, τῆς ὥρας ἐλθούσης τοῦ ἐξιέναι, ὄνῳ καθίσαντες αὐτὸν ἦγον εἰς τὴν πόλιν, ὄντος σαββάτου μεγάλου 10). Καὶ ὑπήντα αὐτῷ ὁ εἰρήναρχος Ἡρώδης καὶ ὁ πατὴρ αὐτοῦ Νικήτης· οἳ καὶ μεταθέντες αὐτὸν εἰς τὸ ὄχημα, ἔπειθον παρακαθεζόμενοι καὶ λέγοντες· τί γὰρ κακόν ἐστιν εἰπεῖν Κύριε Καῖσαρ καὶ θῦσαι καὶ σώζεσθαι; Ὁ δὲ τὰ μὲν πρῶτα οὐκ ἀπεκρίνατο, ἐπιμενόντων δὲ αὐτῶν ἔφη· οὐ μέλλω πράττειν, ὃ συμβουλεύετέ μοι. Οἱ δὲ ἀποτυχόντες τοῦ πεῖσαι αὐτόν, δεινὰ ῥήματα ἔλεγον

---

9) Quae sequuntur Euseb. IV, 15. nobis exhibet.

10) Sabbatum magnum dicitur, quod festum Paschatis proxime antecedit.

καὶ μετὰ σπουδῆς καθῄρουν, ὡς κατιόντα ἀπὸ τοῦ ὀχήματος ἀποσῦραι τὸ ἀντικνήμιον. Ἀλλὰ γὰρ μὴ ἐπιστραφεὶς οἷα μηδὲν πεπονθὼς, πρόθυμος μετὰ σπουδῆς ἐπορεύετο, ἀγόμενος εἰς τὸ στάδιον. Θορύβου δὲ πολλοῦ ὄντος ἐν τῷ σταδίῳ, ὡς μηδὲ πολλοῖς ἀκουσθῆναι, τῷ Πολυκάρπῳ εἰσιόντι εἰς τὸ στάδιον φωνὴ ἐξ οὐρανοῦ γέγονεν· Ἴσχυε, Πολύκαρπε, καὶ ἀνδρίζου! καὶ τὸν μὲν εἰπόντα οὐδεὶς εἶδε, τὴν δὲ φωνὴν τῶν ἡμετέρων πολλοὶ ἤκουσαν. Προσαχθέντος οὖν αὐτοῦ θόρυβος ἦν μέγας ἀκουσάντων, ὅτι Πολύκαρπος συνείληπται. Λοιπὸν οὖν προσελθόντα ἀνηρώτα ὁ ἀνθύπατος, εἰ αὐτὸς εἴη Πολύκαρπος, καὶ ὁμολογήσαντος ἔπειθεν ἀρνεῖσθαι λέγων· αἰδέσθητί σου τὴν ἡλικίαν, καὶ ἕτερα τούτοις ἀκόλουθα, ἃ σύνηθες αὐτοῖς ἐστι λέγειν· ὄμοσον τὴν Καίσαρος τύχην 11), μετανόησον, εἶπον, αἶρε τοὺς ἀθέους. Ὁ δὲ Πολύκαρπος ἐμβριθεῖ τῷ προσώπῳ εἰς πάντα τὸν ὄχλον τὸν ἐν τῷ σταδίῳ ἐμβλέψας, ἐπισείσας αὐτοῖς τὴν χεῖρα, στενάξας τε καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπεν· αἶρε τοὺς ἀθέους 12)! Ἐγκειμένου δὲ τοῦ ἡγουμένου καὶ λέγοντος· ὄμοσον, καὶ ἀπολύσω

11) Fortuna imperatoris; Orig. cont. Cels. VIII. p. 421. idem occurrit. Latini dicere solent genium Caesaris, ut legitur in Tert. apol. c. 32. 35. ad Scapul. c. 2. In cubiculo Principum aurea Fortuna poni solebat. Jul. Capitol. in Anton. Pio c. 12. et in M. Aurelio c. 7. Gentiles vero in jurando advocasse Caesaris fortunam, notum est.

12) Plebem in amphitheatro circumsedentem ἀθέους vocat.

σε· λοιδόρησον τὸν Χριστόν· ἔφη ὁ Πολύκαρπος· ὀγδοήκοντα καὶ ἓξ ἔτη δουλεύω αὐτῷ, καὶ οὐδέν με ἠδίκησεν, καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου, τὸν σώσαντά με. Ἐπιμένοντος δὲ πάλιν αὐτοῦ καὶ λέγοντος· ὄμοσον τὴν Καίσαρος τύχην, ὁ Πολύκαρπος· εἰ κενοδοξεῖς, φησὶν, ἵνα ὀμόσω τὴν Καίσαρος τύχην, ὡς λέγεις, προσποιούμενος ἀγνοεῖν ὅστις εἰμί, μετὰ παῤῥησίας ἄκουε· Χριστιανός εἰμι. εἰ δὲ θέλεις τὸν τοῦ χριστιανισμοῦ μαθεῖν λόγον, δὸς ἡμέραν καὶ ἄκουσον. Ἔφη ὁ ἀνθύπατος· πεῖσον τὸν δῆμον. Πολύκαρπος ἔφη· σὲ μὲν καὶ λόγου ἠξίωκα· δεδιδάγμεθα γὰρ ἀρχαῖς καὶ ἐξουσίαις ὑπὸ Θεοῦ τεταγμέναις, τιμὴν κατὰ τὸ προσῆκον τὴν μὴ βλάπτουσαν ἡμᾶς ἀπονέμειν· ἐκείνους δὲ οὐκ ἀξίους ἡγοῦμαι τοῦ ἀπολογεῖσθαι αὐτοῖς. Ὁ δὲ ἀνθύπατος εἶπε· θηρία ἔχω, τούτοις σε παραβαλῶ, ἐὰν μὴ μετανοήσῃς. Ὁ δὲ εἶπεν· κάλει, ἀμετάθετος γὰρ ἡμῖν ἡ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω μετάνοια· καλὸν δὲ μετατίθεσθαι ἀπὸ τῶν χαλεπῶν ἐπὶ τὰ δίκαια. Ὁ δὲ πάλιν πρὸς αὐτόν· πυρί σε ποιήσω δαμασθῆναι, ἐὰν τῶν θηρίων καταφρονῇς, ἐὰν μὴ μετανοήσῃς. Πολύκαρπος εἶπε· πῦρ ἀπειλεῖς πρὸς ὥραν καιόμενον καὶ μετ' ὀλίγον σβεννύμενον, ἀγνοεῖς γὰρ τὸ τῆς μελλούσης κρίσεως καὶ αἰωνίου κολάσεως τοῖς ἀσεβέσι τηρούμενον πῦρ. Ἀλλὰ τί βραδύνεις; φέρε ἃ βούλει. Ταῦτα δὲ καὶ ἕτερα πλείονα λέγων θάρσους καὶ χαρᾶς ἐνεπίμπλατο, καὶ τὸ πρόσωπον αὐτοῦ χάριτος ἐπληροῦτο· ὥστε μὴ μόνον μὴ συμπεσεῖν ταραχθέντα ὑπὸ τῶν λεγο-

μένων πρὸς τοῦτο, φησὶ θαυμάσαι τὸν ἀνθύπατον· ἐκπέμψαι τε τὸν κήρυκα καὶ ἐν μέσῳ τοῦ σταδίου κηρύξαι τρίς· Πολύκαρπος ὡμολόγησεν ἑαυτὸν Χριστιανὸν εἶναι! Τούτου λεχθέντος ὑπὸ τοῦ κήρυκος, ἅπαν τὸ πλῆθος ἐθνῶν τε καὶ Ἰουδαίων τῶν τὴν Σμύρναν κατοικούντων, ἀκατασχέτῳ θυμῷ καὶ μεγάλῃ φωνῇ ἐβόα· οὗτός ἐστιν ὁ τῆς Ἀσίας διδάσκαλος! ὁ πατὴρ τῶν Χριστιανῶν! ὁ τῶν ἡμετέρων θεῶν καθαιρέτης! ὁ πολλοὺς διδάσκων μὴ θύειν μηδὲ προσκυνεῖν! Ταῦτα λέγοντες ἐπεβόων καὶ ἠρώτων τὸν Ἀσιάρχην 13) Φίλιππον, ἵνα ἐπαφῇ τῷ Πολυκάρπῳ λέοντα. Ὁ δὲ ἔφη μὴ εἶναι ἐξὸν αὐτῷ, ἐπειδὴ πεπληρώκει τὰ κυνηγέσια. Τότε ἔδοξεν αὐτοῖς ὁμοθυμαδὸν ἐπιβοῆσαι, ὥστε ζῶντα τὸν Πολύκαρπον κατακαῦσαι· ἔδει γὰρ τὸ τῆς φανερωθείσης αὐτῷ ἐπὶ τοῦ προσκεφαλαίου ὀπτασίας πληρωθῆναι, ὅτε ἰδὼν αὐτὸ καιόμενον προσευχόμενος εἶπεν, ἐπιστραφεὶς τοῖς μετ' αὐτοῦ πιστοῖς, προφητικῶς· δεῖ με ζῶντα κατακαῆναι. Ταῦτ' οὖν μετὰ τοσούτου τάχους ἐγένετο, θᾶττον ἢ ἐλέγετο, τῶν ὄχλων παραχρῆμα συναγαγόντων ἐκ τῶν ἐργαστηρίων καὶ ἐκ τῶν

13) Communia Asiani habebant templa, sacra, dies festos, sacerdotium quoque, quo qui fungebatur, per omnium urbium legatos electus erat et Ἀσιάρχης dicebatur. Non unum vero hoc nomen obtinuisse, ut Valesius censet, sed plures, docet Actor. Apost. 19, 31. Non nisi opulentiores Asiarchae creabantur; eorum enim erat, praeter alia sumtuosa, munera quoque edere; quare Tralliani vulgo creabantur, qui reliquarum urbium cives opibus superabant.

βαλανείων ξύλα καὶ φρύγανα, μάλιστα Ἰουδαίων προθύμως, ὡς ἔθος, αὐτοῖς, εἰς τοῦτο ὑπουργούντων. Ἀλλ' ὅτε ἡ πυρὰ ἡτοιμάσθη, ἀποθέμενος ἑαυτῷ πάντα τὰ ἱμάτια καὶ λύσας τὴν ζώνην, ἐπειρᾶτο καὶ ὑπολύειν ἑαυτόν· μὴ πρότερον τοῦτο ποιῶν, διὰ τὸ ἀεὶ ἕκαστον τῶν πιστῶν σπουδάζειν ὅστις τάχιον τοῦ χρωτὸς αὐτοῦ ἐφάψηται· ἐν παντὶ γὰρ ἀγαθῆς ἕνεκεν πολιτείας καὶ πρὸ τῆς πολιᾶς ἐκεκόσμητο. Εὐθέως οὖν αὐτῷ περιετίθετο τὰ πρὸς τὴν πυρὰν ἡρμοσμένα 14) ὄργανα· μελλόντων δὲ αὐτῶν καὶ προσηλοῦν αὐτόν, εἶπεν· ἄφετέ με οὕτως, ὁ γὰρ διδοὺς ὑπομεῖναι τὸ πῦρ, δώσει καὶ χωρὶς τῆς ὑμετέρας ἐκ τῶν ἥλων ἀσφαλείας, ἀσκύλτως ἐπιμεῖναι τῇ πυρᾷ. Οἱ δὲ οὐ καθήλωσαν, προσέδησαν δὲ αὐτόν. Ὁ δὲ ὀπίσω τὰς χεῖρας ποιήσας καὶ προσδεθεὶς ὥσπερ κριὸς ἐπίσημος ἀναφερόμενος ἐκ μεγάλου ποιμνίου ὁλοκαύτωμα δεκτὸν Θεῷ παντοκράτορι, εἶπεν· ὁ τοῦ ἀγαπητοῦ καὶ εὐλογητοῦ παιδός σου Ἰησοῦ Χριστοῦ πατήρ, δι' οὗ τὴν περὶ σοῦ ἐπίγνωσιν εἰλήφαμεν· ὁ Θεὸς ἀγγέλων καὶ δυνάμεων, καὶ πάσης τῆς κτίσεως παντός τε τοῦ γένους τῶν δικαίων, οἳ ζῶσιν ἐνώπιόν σου, εὐλογῶ σε ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης, τοῦ λαβεῖν μέρος ἐν ἀριθμῷ τῶν μαρτύρων, ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ, εἰς ἀνάστασιν ζωῆς αἰωνίου, ψυχῆς τε καὶ σώματος, ἐν ἀφθαρσίᾳ πνεύματος ἁγίου·

14) Nimirum tunica pice et bitumine illita, palus, clavi etc. Sc.

ἐν οἷς προσδεχθείην ἐνώπιόν σου σήμερον ἐν θυσίᾳ πίονι καὶ προσδεκτῇ, καθὼς προητοίμασας καὶ προφανερώσας καὶ πληρώσας, ὁ ἀψευδὴς καὶ ἀληθινὸς Θεός. Διὰ τοῦτο καὶ περὶ πάντων σε αἰνῶ, σε εὐλογῶ, σε δοξάζω, διὰ τοῦ αἰωνίου ἀρχιερέως Ἰησοῦ Χριστοῦ, τοῦ ἀγαπητοῦ σου παιδός, δι' οὗ σοι σὺν αὐτῷ ἐν πνεύματι ἁγίῳ δόξα, καὶ νῦν καὶ εἰς τοὺς μέλλοντας αἰῶνας. ἀμήν.

Ἀναπέμψαντος δὲ αὐτοῦ τὸ ἀμὴν καὶ πληρώσαντος τὴν προσευχήν, οἱ τοῦ πυρὸς ἄνθρωποι ἐξῆψαν τὸ πῦρ. μεγάλης δὲ ἐκλαμψάσης φλογός, θαῦμα εἴδομεν οἷς ἰδεῖν ἐδόθη· οἳ καὶ ἐτηρήθησαν εἰς τὸ ἀναγγεῖλαι τοῖς λοιποῖς τὰ γενόμενα. Τὸ γὰρ πῦρ καμάρας εἶδος ποιῆσαν, ὥσπερ ὀθόνης πλοίου ὑπὸ πνεύματος πληρουμένης, κύκλῳ περιετείχισε τὸ σῶμα τοῦ μάρτυρος, καὶ ἦν ἐς μέσον οὐχ ὡς σὰρξ καιομένη, ἀλλ' ὡς χρυσὸς καὶ ἄργυρος ἐν καμίνῳ πυρούμενος. καὶ γὰρ εὐωδίας τοσαύτης ἀντελαβόμεθα, ὡς λιβανωτοῦ πνέοντος, ἢ ἄλλου τινὸς τῶν τιμίων ἀρωμάτων. Πέρας γοῦν ἰδόντες οἱ ἄνομοι μὴ δυνάμενον τὸ σῶμα ὑπὸ τοῦ πυρὸς δαπανηθῆναι, ἐκέλευσαν προσελθόντα αὐτῷ κομφέκτορα[15], παραβῦσαι τὸ ξίφος, καὶ τοῦτο ποιήσαντος ἐξῆλθε πλῆθος αἵματος, ὥστε κατασβέσαι τὸ πῦρ καὶ θαυμάσαι πάντα τὸν ὄχλον, εἰ τοσαύτη τις [illegible]

15) Vox latina: confector; confectores autem dicebantur qui in theatro bestias conficiebant.

διαφορὰ μεταξὺ τῶν τε ἀπίστων καὶ τῶν ἐκλεκτῶν· ὧν εἷς καὶ οὗτος γέγονεν ὁ θαυμασιώτατος, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις διδάσκαλος ἀποστολικὸς καὶ προφητικὸς, γενόμενος ἐπίσκοπος τῆς ἐν Σμύρνῃ καθολικῆς ἐκκλησίας· πᾶν γὰρ ῥῆμα, ὃ ἀφῆκεν ἐκ τοῦ στόματος αὐτοῦ, καὶ ἐτελειώθη καὶ τελειωθήσεται. Ὁ δὲ ἀντίζηλος καὶ βάσκανος καὶ πονηρὸς, ὁ ἀντικείμενος τῷ γένει τῶν δικαίων, ἰδὼν τὸ μέγεθος αὐτοῦ τῆς μαρτυρίας, καὶ τὴν ἀπαρχῆς ἀνεπίληπτον αὐτοῦ πολιτείαν, ἐστεφανωμένον τε τῷ τῆς ἀφθαρσίας στεφάνῳ καὶ βραβεῖον ἀναντίρρητον ἀπενηνεγμένον, ἐπετήδευσεν ὡς μηδὲ τὸ σωμάτιον αὐτοῦ ὑφ' ἡμῶν ληφθῆναι, καίπερ πολλῶν ἐπιθυμούντων τοῦτο ποιῆσαι, καὶ κοινωνῆσαι τῷ ἁγίῳ αὐτοῦ σαρκίῳ. Ὑπέβαλον γοῦν τινες Νικήτην τὸν τοῦ Ἡρώδου πατέρα, ἀδελφὸν δ' Ἄλκης, ἐντυχεῖν τῷ ἡγεμόνι, ὥστε μὴ δοῦναι αὐτοῦ τὸ σῶμα· μή, φησίν, ἀφέντες τὸν ἐσταυρωμένον, τοῦτον ἄρξωνται σέβειν. Καὶ ταῦτα εἶπον, ὑποβαλόντων καὶ ἐνισχυσάντων τῶν Ἰουδαίων, οἳ καὶ ἐτήρησαν μελλόντων ἡμῶν ἐκ τοῦ πυρὸς αὐτὸν λαμβάνειν· ἀγνοοῦντες, ὅτι οὔτε τὸν Χριστόν ποτε καταλιπεῖν δυνησόμεθα, τὸν ὑπὲρ τῆς τοῦ παντὸς κόσμου τῶν σωζομένων σωτηρίας παθόντα, οὔτε ἕτερόν τινα σέβειν. τοῦτον μὲν γὰρ υἱὸν ὄντα τοῦ Θεοῦ προσκυνοῦμεν· τοὺς δὲ μάρτυρας, ὡς μαθητὰς τοῦ κυρίου καὶ μιμητάς, ἀγαπῶμεν ἀξίως, ἕνεκα εὐνοίας ἀνυπερβλήτου, τῆς εἰς τὸν ἴδιον βασιλέα καὶ διδάσκαλον· ὧν γένοιτο καὶ ἡμᾶς συγκοινωνούς τε καὶ συμμαθητὰς γενέσθαι. Ἰδὼν οὖν ὁ

καὶ ἁγίῳ πνεύματι, ἐπὶ σωτηρίᾳ τῇ τῶν ἁγίων ἐκλεκτῶν, καθὼς ἐμαρτύρησεν ὁ μακάριος Πολύκαρπος· οὗ γένοιτο ἐν τῇ βασιλείᾳ Ἰησοῦ Χριστοῦ πρὸς τὰ ἴχνη εὑρεθῆναι ἡμᾶς.

Ταῦτα [20]) μετεγράψατο μὲν Γάϊος ἐκ τῶν Εἰρηναίου, μαθητοῦ τοῦ Πολυκάρπου, ὃς καὶ συνεπολιτεύσατο τῷ Εἰρηναίῳ. Ἐγὼ δὲ Σωκράτης ἐν Κορίνθῳ ἐκ τῶν Γαΐου ἀντιγράφων ἔγραψα· ἡ χάρις μετὰ πάντων. Ἐγὼ δὲ πάλιν Πιόνιος ἐκ τοῦ προγεγραμμένου ἔγραψα· ἀναζητήσας αὐτὰ κατὰ ἀποκάλυψιν φανερώσαντός μοι Πολυκάρπου, καθὼς δηλώσω ἐν τῷ καθεξῆς, συναγαγὼν αὐτὰ σχεδὸν ἤδη ἐκ τοῦ χρόνου κεκμηκότα, ἵνα κἀμὲ συναγάγῃ ὁ κύριος Ἰησοῦς Χριστὸς μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ· ᾧ ἡ δόξα σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

20) Haec etsi per se vilia, omittere nolui, ne quid desideraretur in hoc antiquitatis Christianae monumento praeclaro.

VIII.

DE POLYCARPO.

(Ex Iren. adv. haer. III, 3.)

Locum hunc memorabilem de Polycarpo huic epistolae subjeci, ut quae de hoc viro aetatem tulerunt conjuncta legerentur. Reperitur quoque hic locus Irenaei, qui erat ex discipulis Polycarpi, apud Euseb. H. E. IV, 14.

Καὶ Πολύκαρπος δὲ οὐ μόνον ὑπὸ ἀποστόλων μαθητευθεὶς καὶ συναναστραφεὶς πολλοῖς τοῖς τὸν κύριον ἑωρακόσιν, ἀλλὰ καὶ ὑπὸ ἀποστόλων κατασταθεὶς εἰς τὴν Ἀσίαν ἐν τῇ ἐν Σμύρνῃ ἐκκλησίᾳ ἐπίσκοπος, ὃν καὶ ἡμεῖς ἑωράκαμεν ἐν τῇ πρώτῃ ἡμῶν ἡλικίᾳ· ἐπιπολὺ γὰρ παρέμεινε καὶ πάνυ γηραλέος ὢν, ἐνδόξως καὶ ἐπιφανέστατα μαρτυρήσας ἐξῆλθε τοῦ βίου· ταῦτα διδάξας ἀεὶ, ἃ καὶ παρὰ τῶν ἀποστόλων ἔμαθεν, ἃ καὶ ἡ ἐκκλησία παραδίδωσιν, ἃ καὶ μόνον ἐστὶν ἀληθῆ. Μαρτυροῦσι τούτοις αἱ κατὰ τὴν Ἀσίαν ἐκκλησίαι πᾶσαι, καὶ οἱ μέχρι νῦν διαδεδεγμένοι τὸν Πολύκαρπον, πολλῷ ἀξιοπιστότερον καὶ βεβαιότερον ἀληθείας μάρτυρα ὄντα Οὐαλεντίνου καὶ Μαρκίωνος καὶ τῶν λοιπῶν κακογνωμόνων. Ὃς καὶ ἐπὶ Ἀνικήτου ἐπιδημήσας τῇ Ῥώμῃ πολλοὺς ἀπὸ τῶν προειρημένων αἱρετικῶν ἐπέστρεψεν εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, μίαν καὶ μόνην ταύ-

την ἀλήθειαν κηρύξας, ὑπὸ τῶν ἀποστόλων παρειληφέναι, τὴν ὑπὸ τῆς ἐκκλησίας παραδιδομένην. Καὶ εἰσὶν οἱ ἀκηκοότες αὐτοῦ, ὅτι Ἰωάννης ὁ τοῦ κυρίου μαθητὴς ἐν τῇ Ἐφέσῳ πορευθεὶς λούσασθαι καὶ ἰδὼν ἔσω Κήρινθον, ἐξήλατο τοῦ βαλανείου μὴ λουσάμενος, ἀλλ' ἐπειπὼν φύγωμεν, μὴ καὶ τὸ βαλανεῖον συμπέσῃ, ἔνδον ὄντος Κηρίνθου, τοῦ τῆς ἀληθείας ἐχθροῦ. Καὶ αὐτὸς δὲ ὁ Πολύκαρπος Μαρκίωνί ποτε εἰς ὄψιν αὐτῷ ἐλθόντι καὶ φήσαντι· ἐπιγίνωσκε ἡμᾶς, ἀπεκρίθη· ἐπιγινώσκω τὸν πρωτότοκον τοῦ Σατανᾶ. Τοσαύτην οἱ ἀπόστολοι καὶ οἱ μαθηταὶ αὐτῶν ἔσχον εὐλάβειαν, πρὸς τὸ μηδὲ μέχρι λόγου κοινωνεῖν τινι τῶν παραχαρασσόντων τὴν ἀλήθειαν, ὡς καὶ Παῦλος ἔφησεν· αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ, εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος καὶ ἁμαρτάνει ὢν αὐτοκατάκριτος. Ἔστι δὲ καὶ ἐπιστολὴ Πολυκάρπου πρὸς Φιλιππησίους γεγραμμένη ἱκανωτάτη, ἐξ ἧς καὶ τὸν χαρακτῆρα τῆς πίστεως αὐτοῦ καὶ τὸ κήρυγμα τῆς ἀληθείας οἱ βουλόμενοι καὶ φροντίζοντες τῆς ἑαυτῶν σωτηρίας δύνανται μαθεῖν.

IX.

FRAGMENTA EPISTOLAE VIENNENSIUM ET LUGDUNENSIUM DE PERSECUTIONE IN GALLIA REGNANTE M. AURELIO AD ECCLESIAS ASIAE ET PHRYGIAE.

(Ex Euseb. H. E. V, 1. 2.)

Dolendum quidem est graviter insigne hoc antiquitatis Christianae monumentum, non integrum sed mutilatum ab Eusebio nobis esse exhibitum; attamen fragmenta hujus epistolae tanti ambitus sunt, ut vix gravius quid omisisse videatur Eusebius. Autorem hujus epistolae voluit esse Irenaeum, ita Valesius in notis ad h. l. quod tamen mera conjectura nititur. Quod vero Galliae ecclesiae fratribus in Asia et Phrygia scripserunt, hanc habet causam; vinculum quoddam intercedebat Gallis cum Asianis, erant enim Vienna et Lugdunum graecae originis, et permulti Graeci versabantur in istis coloniis, quod nomina martyrum, quorum haec epistola mentionem facit satis ostendunt. Sic quoque cur lingua graeca usi sint, patet.

Οἱ ἐν Βιέννῃ καὶ Λουγδούνῳ 1) τῆς Γαλλίας

---

1) Conjunctim scribunt ecclesiae Viennae et Lugduni non

παροικοῦντες δοῦλοι Χριστοῦ, τοῖς κατὰ τὴν Ἀσίαν[2] καὶ Φρυγίαν τὴν αὐτὴν τῆς ἀπολυτρώσεως ἡμῖν πίστιν καὶ ἐλπίδα ἔχουσιν ἀδελφοῖς, εἰρήνη καὶ χάρις καὶ δόξα ἀπὸ Θεοῦ πατρὸς καὶ Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν.

Εἶτα τούτοις ἑξῆς ἕτερα προοιμιασάμενοι, τὴν τοῦ λόγου καταρχὴν ποιοῦνται ἐν τούτοις.

Τὸ μὲν οὖν μέγεθος τῆς ἐνθάδε θλίψεως καὶ τὴν τοσαύτην τῶν ἐθνῶν εἰς τοὺς ἁγίους ὀργὴν, καὶ ὅσα ὑπέμειναν οἱ μακάριοι μάρτυρες, ἐπ' ἀκριβὲς οὔθ' ἡμεῖς εἰπεῖν ἱκανοί, οὔτε μὴν γραφῇ περιληφθῆναι δυνατόν. Παντὶ γὰρ σθένει ἐνέσκηψεν ὁ ἀντικείμενος, προοιμιαζόμενος ἤδη τὴν ἀδεῶς μέλλουσαν ἔσεσθαι παρουσίαν αὐτοῦ· καὶ διὰ πάντων διῆλθεν, ἐθίζων τοὺς ἑαυτοῦ καὶ προγυμνάζων κατὰ τῶν δούλων τοῦ Θεοῦ· ὥστε μὴ μόνον οἰκιῶν[3] καὶ βαλανείων καὶ ἀγορᾶς εἴργεσθαι, ἀλλὰ καὶ τὸ καθόλου φαίνεσθαι ἡμῶν τινα αὐτοῖς ἀπειρῆσθαι ἐν ὁποίῳ δήποτε

---

quia unus utriusque urbis erat episcopus, sed ob vicinitatem urbium et quia eodem tempore vexabantur, martyres etiam Viennenses Lugduni mortem obierunt. Lugdunenses scripsisse epistolam censet Valesius, quia primo loco ponitur Viennae minoris ecclesiae nomen.

2) Ἀσία non est Asia minor, sed arctioris significationis est: Asia proconsularis, cujus caput erat Ephesus.

3) Valesius interpretatur amicorum, propinquorum, opificum aedes; sed haec interpretatio haud mihi placet. Conjunguntur οἰκίαι, βαλανεῖα, ἀγορά: rectius itaque sine dubio intelliguntur aedificia publica. Rufinus Christianos in suis ipsorum domibus habitare prohibitos existimat, sed totus locus id solummodo vult, prohibitos esse Christianos in publico versari.

τόπῳ. Ἀντεστρατήγει δὲ ἡ χάρις τοῦ Θεοῦ καὶ τοὺς μὲν ἀσθενεῖς ἐρρύετο, ἀντιπαρέτασσε δὲ στύλους ἑδραίους, δυναμένους διὰ τῆς ὑπομονῆς πᾶσαν τὴν ὁρμὴν τοῦ πονηροῦ εἰς ἑαυτοὺς ἑλκύσαι· οἳ καὶ ὁμόσε ἐχώρουν αὐτῷ, πᾶν εἶδος ὀνειδισμοῦ καὶ κολάσεως ἀνεχόμενοι· οἳ καὶ τὰ πολλὰ ὀλίγα ἡγούμενοι, ἔσπευδον πρὸς Χριστόν, ὄντως ἐπιδεικνύμενοι ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. Καὶ πρῶτον μὲν τὰ ἀπὸ τοῦ ὄχλου πανδημεὶ σωρηδὸν ἐπιφερόμενα γενναίως ὑπέμενον, ἐπιβοήσεις, καὶ πληγάς, καὶ συρμούς, καὶ διαρπαγάς, καὶ λίθων βολάς, καὶ συγκλείσεις, καὶ πάνθ᾽ ὅσα ἠγριωμένῳ πλήθει ὡς πρὸς ἐχθροὺς καὶ πολεμίους φιλεῖ γίνεσθαι. Καὶ δὴ ἀναχθέντες εἰς τὴν ἀγορὰν ὑπό τε τοῦ χιλιάρχου [4]) καὶ τῶν προεστηκότων τῆς πόλεως ἐξουσιῶν [5]), ἐπὶ παντὸς τοῦ πλήθους ἀνακριθέντες καὶ ὁμολογήσαντες, συνεκλείσθησαν εἰς τὴν εἱρκτὴν ἕως τῆς τοῦ ἡγεμόνος [6]) παρουσίας. Μετέπειτα δὲ ἐπὶ τὸν ἡγεμόνα ἀχθέντων αὐ-

---

4) Graeci χιλίαρχον dicunt, quem Romani tribunum militum vocare solent.

5) αἱ προεστηκότες τῆς πόλεως ἐξουσίαι sunt magistratus municipales, qui Duumviri saepius vocantur.

6) ἡγεμὼν dicitur praeses provinciae sive sit procurator, seu proconsul, seu legatus Caesaris. Provincia, cujus caput erat Lugdunum, per legatos regebatur; ita imperator Septimius Severus Lugdunensem provinciam legatus rexerat (Ael. Spartian. in vit. Sept. Severi c. 3.) sub Marco Aurelio, et, addit Valesius, forsan in hac epistola intelligitur Severus.

τῶν, κἀκείνου πάσῃ τῇ πρὸς ἡμᾶς ὠμότητι χρωμένου, Οὐέττιος Ἐπάγαθος εἷς ἐκ τῶν ἀδελφῶν, πλήρωμα ἀγάπης τῆς πρὸς τὸν Θεὸν καὶ τὸν πλησίον κεχωρηκὼς, οὗ καὶ ἐπὶ τοσοῦτον ἠκρίβωτο ἡ πολιτεία, ὡς καίπερ ὄντα νέον συνεξισοῦσθαι τῇ τοῦ πρεσβυτέρου Ζαχαρίου μαρτυρίᾳ· πεπόρευτο γοῦν ἐν πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ κυρίου ἄμεμπτος[7]), καὶ πάσῃ τῇ πρὸς τὸν πλησίον λειτουργίᾳ ἄοκνος, ζῆλον Θεοῦ πολὺν ἔχων καὶ ζέων τῷ πνεύματι· τοιοῦτος δή τις ὢν, τὴν οὕτω καθ᾽ ἡμῶν ἀλόγως γινομένην κρίσιν οὐκ ἐβάστασεν, ἀλλ᾽ ὑπερηγανάκτησε, καὶ ἠξίου καὶ αὐτὸς ἀκουσθῆναι ἀπολογούμενος ὑπὲρ τῶν ἀδελφῶν, ὅτι μηδὲν ἄθεον μηδ᾽ ἀσεβές ἐστιν ἐν ἡμῖν. Τῶν δὲ περὶ τὸ βῆμα καταβοησάντων αὐτοῦ, καὶ γὰρ ἦν ἐπίσημος· καὶ τοῦ ἡγεμόνος μὴ ἀνασχομένου τῆς οὕτως ὑπ᾽ αὐτοῦ δικαίας προταθείσης ἀξιώσεως, ἀλλὰ μόνον τοῦτο πυθομένου· εἰ καὶ αὐτὸς εἴη χριστιανός. Τοῦ δὲ λαμπροτάτῃ φωνῇ ὁμολογήσαντος, ἀνελήφθη καὶ αὐτὸς εἰς τὸν κλῆρον[8]) τῶν μαρτύρων, παράκλητος χριστιανῶν χρηματίσας[9]),

---

7) Luc. 1, 6. Loquitur autor epistolae de Zacharia, patre Joannis Baptistae, non de presbytero quodam Zacharia, ut nonnulli putabant perperam.

8) μάρτυρες dicuntur κλῆρος eodem sensu quo sacerdotes ecclesiae; ὧν ὁ κλῆρος ὁ Θεός ἐστιν, sive rectius a voce κληροῦσθαι sorte eligi, digni habiti martyrio, electi ad accipiendum martyrii coronam. Eodem sensu paulo infra occurrit κλῆρος τῶν μαρτύρων.

9) Ne ita interpreteris monet recte Valesius, quasi exinde dictus sit Epagathus a Christianis: patronus Christianorum, sed

ἔχων δὲ τὸν παράκλητον ἐν ἑαυτῷ, τὸ πνεῦμα πλεῖον τοῦ Ζαχαρίου· ὃ διὰ τοῦ πληρώματος τῆς ἀγάπης ἐνεδείξατο, εὐδοκήσας ὑπὲρ τῆς τῶν ἀδελφῶν ἀπολογίας καὶ τὴν ἑαυτοῦ θεῖναι ψυχήν· ἦν γὰρ καὶ ἔστι γνήσιος Χριστοῦ μαθητής, ἀκολουθῶν τῷ ἀρνίῳ ὅπου ἂν ὑπάγῃ. Ἐντεῦθεν δὴ διεκρίνοντο 10) οἱ λοιποὶ καὶ φανεροὶ καὶ ἕτοιμοι ἐγίνοντο πρωτομάρτυρες, οἳ καὶ μετὰ πάσης προθυμίας ἀνεπλήρουν τὴν ὁμολογίαν τῆς μαρτυρίας. Ἐφαίνοντο δὲ καὶ ἀνέτοιμοι καὶ ἀγύμναστοι, καὶ ἔτι ἀσθενεῖς, ἀγῶνος μεγάλου τόνον ἐνεγκεῖν μὴ δυνάμενοι, ὧν καὶ ἐξέτρωσαν 11) ὡς δέκα τὸν ἀριθμόν· οἳ καὶ μεγάλην λύπην καὶ πένθος ἀμέτρητον ἐνεποίησαν ἡμῖν, καὶ τὴν προθυμίαν τῶν λοιπῶν τῶν μὴ συνειλημμένων ἐνέκοψαν, οἳ καίπερ πάντα τὰ δεινὰ πάσχοντες, ὅμως συμπαρῆσαν τοῖς μάρτυσι καὶ οὐκ ἀπελείποντο αὐτῶν. Τότε δὴ οἱ πάντες μεγάλως ἐπτοήθημεν διὰ τὸ ἄδηλον τῆς ὁμολογίας 12), οὐ τὰς ἐπιφερομένας κολάσεις φοβούμενοι, ἀλλὰ τὸ

---

a judice ita dicebatur, et jam addit autor: immo verum habuit παράκλητον in se, Spiritum sanctum.

10) Vexatio Christianorum διάκρισις videtur autori, qua ἕτοιμοι et ἀνέτοιμοι secernebantur. Metaphora videtur Valesio ab Athletis, qui probari solebant utrum ingenui, utrum aetatis athleticae essent.

11) Alii legunt ἐξέπεσον, sed vox inusitatior praeferenda videtur.

12) Verba haec per se obscura quid sibi velint, sequentia ostendunt. Anxii haerebant Christianorum animi, metuentes ne plures Christum negarent, incertum enim erat et dubium, utrum qui adducerentur ad certamen, confiterentur, nec ne.

τέλος ἀφορῶντες, καὶ τὸ ἀποπεσεῖν τινα δεδιότες. Συνελαμβάνοντο μέντοι καθ' ἑκάστην ἡμέραν οἱ ἄξιοι, τὸν ἐκείνων ἀναπληροῦντες ἀριθμόν, ὥστε συλλεγῆναι ἐκ τῶν δύο ἐκκλησιῶν πάντας τοὺς σπουδαίους, καὶ δι' ὧν μάλιστα συνειστήκει τὰ ἐνθάδε. Συνελαμβάνοντο δὲ καὶ ἐθνικοί τινες οἰκέται τῶν ἡμετέρων· ἐπεὶ δημοσίᾳ ἐκέλευσεν ὁ ἡγεμὼν ἀναζητεῖσθαι πάντας ἡμᾶς[13]). οἳ καὶ κατ' ἐνέδραν τοῦ Σατανᾶ, φοβηθέντες τὰς βασάνους, ἃς τοὺς ἁγίους ἔβλεπον πάσχοντας, τῶν στρατιωτῶν ἐπὶ τοῦτο παρορμώντων αὐτούς, κατεψεύσαντο ἡμῶν Θυέστεια δεῖπνα, καὶ Οἰδιποδείους μίξεις[14]), καὶ ὅσα μήτε λαλεῖν, μήτε νοεῖν θέμις ἡμῖν, ἀλλὰ μηδὲ πιστεύειν, εἴ τι τοιοῦτο πώποτε παρὰ ἀνθρώποις ἐγένετο. Τούτων δὲ φημισθέντων, πάντες ἀπεθηριώθησαν εἰς ἡμᾶς, ὥστε καὶ εἴ τινες τὸ πρότερον δι' οἰκειότητα ἐμετρίαζον, τότε μεγάλως ἐχαλέπαινον καὶ διεπρίοντο καθ' ἡμῶν. Ἐπληροῦτο δὲ τὸ ὑπὸ τοῦ κυρίου ἡμῶν εἰρημένον, ὅτι ἐλεύσεται καιρὸς ἐν ᾧ πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξει λατρείαν

---

13) πάντας ἡμᾶς h. e. totam familiam, uxorem, liberos, servos.

14) Θυέστεια δεῖπνα spectant ad infanticidia (cf. de his Tert. apol. cap. 2. Iustin. M. Orat. ad Graec. p. 38.), quae in conventibus Christianorum peragi dicebant gentiles. Accusatio vero haec: Christianos carne humana vesci, ex eucharistia perperam intellecta originem traxisse videtur, nisi merae sunt calumniae, ut quae de incesto (μίξεις Οἰδιπόδειοι) circumferebantur. Conventus Christianorum utriusque sexus secreti huic crimini causam praebere poterant.

προσφέρειν τῷ Θεῷ. Ἐνταῦθα λοιπὸν ὑπὲρ πάσης ἐξηγήσεως ὑπέμενον κολάσεις οἱ ἅγιοι μάρτυρες, φιλοτιμουμένου τοῦ Σατανᾶ καὶ δι' ἐκείνων ῥηθῆναί τι τῶν βλασφήμων [15]. Ὑπερβεβλημένως δὲ ἐνέσκηψεν ἡ ὀργὴ πᾶσα καὶ ὄχλου καὶ ἡγεμόνος καὶ στρατιωτῶν, εἰς Σάγκτον διάκονον ἀπὸ Βιέννης, καὶ εἰς Μάτουρον νεοφώτιστον [16] μὲν, ἀλλὰ γενναῖον ἀγωνιστὴν, καὶ εἰς Ἄτταλον Περγαμηνὸν τῷ γένει, στῦλον καὶ ἑδραίωμα τῶν ἐνταῦθα ἀεὶ γεγονότα, καὶ εἰς Βλανδῖναν, δι' ἧς ἐπέδειξεν ὁ Χριστὸς, ὅτι τὰ παρὰ ἀνθρώποις εὐτελῆ καὶ ἀειδῆ καὶ εὐκαταφρόνητα φαινόμενα [17], μεγάλης καταξιοῦται παρὰ Θεῷ δόξης, διὰ τὴν πρὸς αὐτὸν ἀγάπην τὴν ἐν δυνάμει δεικνυμένην, καὶ μὴ ἐν εἴδει καυχωμένην. Ἡμῶν γὰρ πάντων δεδιότων, καὶ τῆς σαρκίνης δεσποίνης αὐτῆς, ἥτις ἦν καὶ αὐτὴ τῶν μαρτύρων μία ἀγωνίστρια, ἀγωνιώσης μὴ οὐδὲ τὴν ὁμολογίαν δυνήσεται παρρησιάσασθαι διὰ τὸ ἀσθενὲς τοῦ σώματος, ἡ Βλανδῖνα τοσαύτης ἐπληρώθη δυνάμεως, ὥστε ἐκλυθῆναι καὶ παρεθῆναι τοὺς κατὰ διαδοχὰς παντὶ τρόπῳ βασανίζοντας αὐτὴν ἀπὸ ἑωθινῆς ἕως ἑσπέρας, καὶ αὐτοὺς ὁμολογοῦντας ὅτι νενίκηνται, μηδὲν ἔχον-

15) Adversus religionem Christianam; vox ἐκείνων respicit ad servos istos, tormentis superatos.

16) νεοφώτιστος est recens baptizatus, φωτίζειν enim est baptizare. Idem est νεόφυτος, 1 Tim. 3, 6.

17) Femina enim erat et serva; paulo infra domina ejus dicitur σαρκίνη δέσποινα.

τες μηκέτι ὃ ποιήσωσιν αὐτῇ· καὶ θαυμάζειν ἐπὶ τῷ παραμένειν ἔμπνουν αὐτὴν παντὸς τοῦ σώματος διεῤῥωγότος καὶ ἠνεῳγμένου· καὶ μαρτυρεῖν ὅτι ἓν εἶδος στρεβλώσεως ἱκανὸν ἦν πρὸς τὸ ἐξαγαγεῖν τὴν ψυχήν, οὐχ ὅτι γε τοιαῦτα καὶ τοσαῦτα. Ἀλλ' ἡ μακαρία ὡς γενναῖος ἀθλητὴς ἀνενέαζεν ἐν τῇ ὁμολογίᾳ, καὶ ἦν αὐτῆς ἀνάληψις, καὶ ἀνάπαυσις, καὶ ἀναλγησία τῶν συμβαινόντων, τὸ λέγειν ὅτι Χριστιανή εἰμι, καὶ παρ' ἡμῖν οὐδὲν φαῦλον γίνεται. Ὁ δὲ Σάγκτος καὶ αὐτὸς ὑπερβεβλημένως καὶ ὑπὲρ πάντα ἄνθρωπον πάσας τὰς ἐξ ἀνθρώπων αἰκίας γενναίως ὑπομένων, τῶν ἀνόμων ἐλπιζόντων διὰ τὴν ἐπιμονὴν [18]) καὶ τὸ μέγεθος τῶν βασάνων ἀκούσεσθαί τι παρ' αὐτοῦ τῶν μὴ δεόντων, τοσαύτῃ ὑποστάσει ἀντιπαρετάξατο αὐτοῖς, ὥστε μήτε τὸ ἴδιον καταλέξαι ὄνομα, μήτε ἔθνους, μήτε πόλεως ὅθεν ἦν, μήτε εἰ δοῦλος ἢ ἐλεύθερος εἴη· ἀλλὰ πρὸς πάντα τὰ ἐπερωτώμενα ἀπεκρίνατο τῇ Ῥωμαϊκῇ φωνῇ· Χριστιανός εἰμι. τοῦτο καὶ ἀντὶ ὀνόματος, καὶ ἀντὶ πόλεως, καὶ ἀντὶ γένους, καὶ ἀντὶ παντὸς ἐπαλλήλως ὡμολόγει· ἄλλην δὲ φωνὴν οὐκ ἤκουσαν αὐτοῦ τὰ ἔθνη. Ὅθεν δὴ καὶ φιλονεικία μεγάλη τοῦ τε ἡγεμόνος καὶ τῶν βασανιστῶν ἐγένετο πρὸς αὐτόν, ὥστε ὁπότε μηκέτι μηδὲν εἶχον ὃ ποιήσωσιν αὐτῷ, τὸ τελευταῖον χαλκᾶς λεπίδας δια-

18) ἐπιμονὴν praeferendum est, alii codd. legunt ὑπομονὴν, quod sensum hoc loco non fundit. Sensus est: ob assiduitatem et gravitatem tormentorum.

πύρους προσκολλῶντες τοῖς τρυφερωτάτοις μέλεσι τοῦ σώματος αὐτοῦ, καὶ ταῦτα μὲν ἐκαίετο· αὐτὸς δὲ παρέμενεν ἀνεπίκαμπτος καὶ ἀνένδοτος, στερρὸς πρὸς τὴν ὁμολογίαν, ὑπὸ τῆς οὐρανίου πηγῆς τοῦ ὕδατος τῆς ζωῆς τοῦ ἐξιόντος ἐκ τῆς νηδύος τοῦ Χριστοῦ, δροσιζόμενος καὶ ἐνδυναμούμενος. Τὸ δὲ σωμάτιον μάρτυς ἦν τῶν συμβεβηκότων, ὅλον τραῦμα καὶ μώλωψ, καὶ συνεσπασμένον καὶ ἀποβεβληκὸς τὴν ἀνθρώπειον ἔξωθεν μορφήν· ἐν ᾧ πάσχων Χριστὸς μεγάλας ἐπετέλει δόξας, καταργῶν τὸν ἀντικείμενον, καὶ εἰς τὴν τῶν λοιπῶν ὑποτύπωσιν ὑποδεικνὺς ὅτι μηδὲν φοβερὸν ὅπου πατρὸς ἀγάπη, μηδὲ ἀλγεινὸν ὅπου Χριστοῦ δόξα. Τῶν γὰρ ἀνόμων μεθ᾽ ἡμέρας πάλιν στρεβλούντων τὸν μάρτυρα καὶ νομιζόντων, ὅτι οἰδούντων καὶ φλεγμαινόντων τῶν σωμάτων, εἰ τὰ αὐτὰ προσενέγκοιεν κολαστήρια, περιέσονται αὐτοῦ, ὁπότε οὐδὲ τὴν ἀπὸ τῶν χειρῶν ἁφὴν ἠνείχετο· ἢ ὅτι ἐναποθανὼν ταῖς βασάνοις φόβον ἐμποιήσει τοῖς λοιποῖς· οὐ μόνον οὐδὲν περὶ αὐτὸν τοιοῦτο συνέβη, ἀλλὰ καὶ παρὰ πᾶσαν δόξαν ἀνθρώπων ἀνέκυψε καὶ ἀνωρθώθη τὸ σωμάτιον ἐν ταῖς μετέπειτα βασάνοις, καὶ τὴν ἰδέαν ἀπέλαβε τὴν προτέραν, καὶ τὴν χρῆσιν τῶν μελῶν· ὥστε μὴ κόλασιν, ἀλλ᾽ ἴασιν διὰ τῆς χάριτος τοῦ Χριστοῦ, τὴν δευτέραν στρέβλωσιν αὐτῷ γενέσθαι. Καὶ Βιβλιάδα 19)

19) Quae de Bibliade narrantur, ad Blandinam perperam transtulit Rufinus in versione; omisit tamen [illegible], quae in Blandinam cadere non poterant.

δέ τινα μίαν τῶν ἠρνημένων, ἤδη δοκῶν διάβολος καταπεπωκέναι, θελήσας δὲ καὶ διὰ βλασφημίας κατακρῖναι, ἦγεν ἐπὶ κόλασιν, ἀναγκάζων εἰπεῖν τὰ ἄθεα περὶ ἡμῶν, ὡς εὔθραυστον ἤδη καὶ ἄνανδρον. Ἡ δὲ ἐν τῇ στρεβλώσει ἀνένηψε, καὶ ὡς ἂν εἰπεῖν, ἐκ βαθέος ὕπνου ἀνεγρηγόρησεν, ὑπομνησθεῖσα διὰ τῆς προσκαίρου τιμωρίας, τὴν αἰώνιον ἐν γεέννῃ κόλασιν, καὶ ἐξ ἐναντίας ἀντεῖπε τοῖς βλασφήμοις [20]) φήσασα· πῶς ἂν παιδία φάγοιεν οἱ τοιοῦτοι, οἷς μηδὲ ἀλόγων ζώων αἷμα φαγεῖν ἐξόν; καὶ ἀπὸ τοῦδε Χριστιανὴν ἑαυτὴν ὡμολόγει, καὶ τῷ κλήρῳ τῶν μαρτύρων προσετέθη. Καταργηθέντων δὲ τῶν τυραννικῶν κολαστηρίων ὑπὸ τοῦ Χριστοῦ, διὰ τῆς τῶν μακαρίων ὑπομονῆς, ἑτέρας μηχανὰς ὁ διάβολος ἐπενόει, τὰς κατὰ τὴν εἱρκτὴν ἐν τῷ σκότει καὶ τῷ χαλεπωτάτῳ χωρίῳ συγκλείσεις, καὶ τὰς ἐν τῷ ξύλῳ διατάσεις τῶν ποδῶν, ἐπὶ πέμπτον διατεινομένων τρύπημα [21]), καὶ τὰς λοιπὰς αἰκίας, ὅσας εἰώθασιν ὀργιζόμενοι ὑπουργοὶ καὶ ταῦτα διαβόλου πλήρεις, διατιθέναι τοὺς ἐγκλειομένους· ὥστε ἀποπνιγῆναι τοὺς πλείστους ἐν τῇ εἱρκτῇ, ὅσους γε ὁ κύριος οὕτως

ἐξελ-

20) Servos istos intelligit, vel etiam lapsos, qui tormentis superati, infanticidia atque incesta in conventibus Christianorum perpetrari fassi erant.

21) Genus tormenti erat illud ξύλον, a Romanis nervum dictum.

ἐξελθεῖν ἠθέλησεν, ἐπιδεικνύων τὴν αὐτοῦ δόξαν. Οἱ μὲν γὰρ βασανισθέντες πικρῶς, ὥστε δοκεῖν μηδὲ τῆς πάσης θεραπείας τυχόντας ἔτι ζῆσαι δύνασθαι, παρέμενον ἐν τῇ εἱρκτῇ, ἔρημοι μὲν τῆς παρὰ ἀνθρώπων ἐπιμελείας, ἀναρρωννύμενοι δὲ ὑπὸ τοῦ κυρίου καὶ ἐνδυναμούμενοι, καὶ σώματι καὶ ψυχῇ, καὶ τοὺς λοιποὺς παρορμῶντες καὶ παραμυθούμενοι. Οἱ δὲ νεαροὶ καὶ ἄρτι συνειλημμένοι, ὧν μὴ προκατῄκιστο τὰ σώματα, τὸ βάρος οὐκ ἔφερον τῆς συγκλείσεως, ἀλλ' ἔνδον ἀπέθνησκον. Ὁ δὲ μακάριος Ποθεινός, ὁ τὴν διακονίαν τῆς ἐπισκοπῆς ἐν Λουγδούνῳ πεπιστευμένος, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη τῆς ἡλικίας γεγονὼς καὶ πάνυ ἀσθενὴς τῷ σώματι, μόλις μὲν ἐμπνέων διὰ τὴν προκειμένην σωματικὴν ἀσθένειαν, ὑπὸ δὲ προθυμίας πνεύματος ἀναρρωννύμενος διὰ τὴν ἐγκειμένην τῆς μαρτυρίας ἐπιθυμίαν, καὶ αὐτὸς ἐπὶ τὸ βῆμα ἐσύρετο· τοῦ μὲν σώματος καὶ ἀπὸ τοῦ γήρας καὶ ὑπὸ τῆς νόσου λελυμένου, τηρουμένης δὲ τῆς ψυχῆς ἐν αὐτῷ, ἵνα δι' αὐτῆς Χριστὸς θριαμβεύσῃ. Ὃς ὑπὸ τῶν στρατιωτῶν ἐπὶ τὸ βῆμα κομισθείς, παραπεμπόντων αὐτὸν τῶν πολιτικῶν ἐξουσιῶν, καὶ παντὸς τοῦ πλήθους ἐπιβοήσεις παντοίας ποιουμένων, ὡς αὐτοῦ ὄντος τοῦ Χριστοῦ, ἀπεδίδου τὴν καλὴν μαρτυρίαν. Ἀνεταζόμενος δὲ ὑπὸ τοῦ ἡγεμόνος, τίς εἴη Χριστιανῶν ὁ Θεός; ἔφη· ἐὰν ᾖς ἄξιος, γνώσῃ. Ἐντεῦθεν δὴ ἀφειδῶς ἐσύρετο, καὶ ποικίλας ἔπασχε πληγάς, τῶν μὲν σύνεγγυς χερσὶ καὶ ποσὶν ἐνυβριζόντων παντοίως, μηδὲ τὴν ἡλικίαν αἰδουμένων αὐτοῦ· τῶν δὲ μακράν, ὃ μετὰ

χεῖρας ἕκαστος εἶχεν εἰς αὐτὸν ἀκοντιζόντων πάντων δὲ ἡγουμένων μεγάλως πλημμελεῖν καὶ ἀσεβεῖν, εἴ τις ἀπολειφθείη τῆς εἰς αὐτὸν ἀσελγείας· καὶ γὰρ τοὺς θεοὺς αὐτῶν ᾤοντο οὕτως ἐκδικήσειν· καὶ μόγις ἐμπνέων ῥίπτεται ἐν τῇ εἱρκτῇ, καὶ μετὰ δύο ἡμέρας ἀπέψυξεν. Ἐνταῦθα δὴ μεγάλη τις οἰκονομία Θεοῦ ἐγίνετο, καὶ ἔλεος ἀμέτρητον ἀνεφαίνετο Ἰησοῦ· σπανίως μὲν ἐν τῇ ἀδελφότητι γεγονός, μὴ ἀπολειπόμενον δὲ τῆς τέχνης τοῦ Χριστοῦ 22). Οἱ γὰρ κατὰ τὴν πρώτην σύλληψιν ἔξαρνοι γενόμενοι, συνεκλείοντο καὶ αὐτοὶ καὶ μετεῖχον τῶν δεινῶν· οὐδὲ γὰρ ἐν τῷ καιρῷ τούτῳ ὄφελός τι αὐτοῖς ἡ ἐξάρνησις ἐγίνετο· ἀλλ' οἱ μὲν ὁμολογοῦντες ὅπερ ἦσαν, συνεκλείοντο ὡς Χριστιανοί, μηδεμιᾶς ἄλλης αἰτίας αὐτοῖς ἐπιφερομένης· οὗτοι δὲ λοιπὸν ὡς ἀνδροφόνοι καὶ μιαροὶ κατείχοντο, διπλότερον παρὰ τοὺς λοιποὺς κολαζόμενοι. Ἐκείνους μὲν γὰρ ἐπεκούφιζεν ἡ χαρὰ τῆς μαρτυρίας, καὶ ἡ ἐλπὶς τῶν ἐπηγγελμένων, καὶ ἡ πρὸς τὸν Χριστὸν ἀγάπη, καὶ τὸ πνεῦμα τὸ πατρικόν· τούτους δὲ τὸ συνειδὸς μεγάλως ἐτιμωρεῖτο, ὥστε καὶ παρὰ τοῖς λοιποῖς ἅπασι κατὰ τὰς παρόδους, διαδήλους τὰς ὄψεις αὐτῶν εἶναι. Οἱ μὲν γὰρ ἱλαροὶ προῄεσαν, δόξης καὶ χάριτος πολλῆς ταῖς ὄψεσιν αὐτῶν συγκεκραμένης· ὥστε καὶ τὰ δεσμὰ κόσμον εὐπρεπῆ περικεῖσθαι αὐτοῖς, ὡς νύμφῃ κε-

22) τέχνη τοῦ Χριστοῦ nusquam ita occurrit. Sensus verborum est: maximam misericordiam et auxilium ostendit Christus in reducendis lapsis ad ecclesiam, idque dicit σπανίως μὲν ἐν τῇ ἀδελφότητι γεγονός, quia lapsorum numerus haud ita magnus fuerat in ecclesia Lugdunensi, cum scriberet autor.

κοσμησαμένη ἐν κροσσωτοῖς χρυσοῖς πεποικιλμένοις [23]), τὴν εὐωδίαν ὀδωδότες ἅμα τοῦ Χριστοῦ, ὥστε ἐνίους δόξαι, καὶ μύρῳ κοσμικῷ κεχρίσθαι αὐτούς· οἱ δὲ, κατηφεῖς καὶ ταπεινοὶ καὶ δυσειδεῖς, καὶ πάσης ἀσχημοσύνης ἀνάπλεοι, προσέτι δὲ ὑπὸ τῶν ἐθνῶν ὀνειδιζόμενοι ὡς ἀγεννεῖς καὶ ἄνανδροι, ἀνδροφόνων μὲν ἔγκλημα ἔχοντες, ἀπολωλεκότες δὲ τὴν πάντιμον καὶ ἔνδοξον καὶ ζωοποιὸν προσηγορίαν. Ταῦτα δὲ οἱ λοιποὶ θεωροῦντες ἐστηρίχθησαν, καὶ οἱ συλλαμβανόμενοι ἀδιστάκτως ὡμολόγουν, μηδὲ ἔννοιαν ἔχοντες διαβολικοῦ λογισμοῦ.

Τούτοις μεταξύ τινα ἐπειπόντες, αὖθις ἐπιφέρουσιν.

Μετὰ ταῦτα δὴ λοιπὸν εἰς πᾶν εἶδος διῃρεῖτο τὰ μαρτύρια τῆς ἐξόδου αὐτῶν· ἐκ διαφόρων γὰρ χρωμάτων καὶ παντοίων ἀνθῶν ἕνα πλέξαντες στέφανον, προσήνεγκαν τῷ πατρί. Ἐχρῆν δ' οὖν τοὺς γενναίους ἀθλητὰς ποικίλον ὑπομείναντας ἀγῶνα καὶ μεγάλως νικήσαντας, ἀπολαβεῖν τὸν μέγαν τῆς ἀφθαρσίας στέφανον. Ὁ μὲν οὖν Μάτουρος καὶ ὁ Σάγκτος καὶ ἡ Βλανδῖνα καὶ Ἄτταλος, ἤγοντο ἐπὶ τὰ θηρία εἰς τὸ δημόσιον [24]), καὶ εἰς τὸ κοινὸν τῶν ἐθνῶν τῆς ἀπανθρωπίας θέαμα, ἐπίτηδες τῆς τῶν θηριομαχιῶν

23) Alludit autor ad Psalm. 45, 9. 2 Cor. 2. 15.

24) εἰς τὸ δημόσιον significat amphitheatrum, locum publicum, in quo edebantur munera; ad θέαμα haud bene referri potest propter repetitum εἰς τό.

ἡμέρας διὰ τοὺς ἡμετέρους διδομένης [25]. Καὶ ὁ μὲν Μάτουρος καὶ ὁ Σάγκτος αὖθις διῄεσαν ἐν τῷ ἀμφιθεάτρῳ διὰ πάσης κολάσεως, ὡς μηδὲν ὅλως προπεπονθότες· μᾶλλον δ' ὡς διὰ πλειόνων ἤδη κλήρων [26] ἐκβεβιακότες τὸν ἀντίπαλον, καὶ περὶ τοῦ στεφάνου αὐτοῦ τὸν ἀγῶνα ἔχοντες. Ὑπέφερον πάλιν τὰς διεξόδους τῶν μαστίγων [27] τὰς ἐκεῖσε εἰθισμένας, καὶ τοὺς ἀπὸ τῶν θηρίων ἑλκηθμούς, καὶ πάνθ' ὅσα μαινόμενος ὁ δῆμος, ἄλλοι ἀλλαχόθεν ἐπεβόων καὶ ἐπεκελεύοντο, καὶ ἐπὶ πᾶσι τὴν σιδηρᾶν καθέδραν, ἐφ' ἧς τηγανιζόμενα τὰ σώματα, κνίσσης αὐτοὺς ἐνεφόρει. Οἱ δ' οὐδ' οὕτως ἔληγον, ἀλλ' ἔτι καὶ μᾶλλον ἐξεμαίνοντο, βουλόμενοι νικῆσαι τὴν ἐκείνων ὑπομονήν· καὶ οὐδ' ὡς παρὰ Σάγκτου ἕτερόν τι εἰσήκουσαν, παρ' ἣν ἀπ' ἀρχῆς εἴθιστο λέγειν τῆς ὁμολογίας φωνήν. Οὗτοι μὲν οὖν δι' ἀγῶνος μεγάλου ἐπὶ πολὺ παραμενούσης αὐτῶν τῆς ψυχῆς, τοὔσχα-

25) Praefero interpretationem Valesii qui vertit: praebita de industria munerum die propter nostros, Strothianae in edit. hist. eccl. Eus. ad h. l.: cum nostrorum causa opportune adessent dies, quibus dari solerent spectacula. Verba enim Valesii textum graecum optime exprimunt, Strothii versio non ita plane verba conjungit; neque est quod contra simplicem verborum sensum faciat, cum majoribus judicibus jus erat ad bestias damnandi, quoties placeret.

26) διὰ πλειόνων κλήρων ex re athletica desumta vox; sorte componebantur inter se certaturi, qui victores evaserant denuo sortiebantur et sic porro, ut denique restaret unus, qui διὰ πλειόνων κλήρων ad victoriam pervenit.

27) διεξόδοι τῶν μαστίγων per flagellantes transeundum iis erat, quae poena inter milites quoque nostris temporibus satis nota.

τον ἐτύθησαν, διὰ τῆς ἡμέρας ἐκείνης, ἀντὶ πάσης τῆς ἐν τοῖς μονομαχίοις ποικιλίας, αὐτοὶ θέαμα γενόμενοι τῷ κόσμῳ. Ἡ δὲ Βλανδῖνα ἐπὶ ξύλου κρεμασθεῖσα 28), προὔκειτο βορὰ τῶν εἰσβαλλομένων θηρίων· ἣ καὶ διὰ τοῦ βλέπεσθαι σταυροῦ σχήματι κρεμαμένη, διὰ τῆς εὐτόνου προσευχῆς, πολλὴν προθυμίαν ἐνεποίει τοῖς ἀγωνιζομένοις· βλεπόντων αὐτῶν ἐν τῷ ἀγῶνι καὶ τοῖς ἔξωθεν ὀφθαλμοῖς διὰ τῆς ἀδελφῆς τὸν ὑπὲρ αὐτῶν ἐσταυρωμένον, ἵνα πείσῃ τοὺς πιστεύοντας εἰς αὐτόν, ὅτι πᾶς ὁ ὑπὲρ τῆς Χριστοῦ δόξης παθὼν τὴν κοινωνίαν ἔχει μετὰ τοῦ ζῶντος Θεοῦ. Καὶ μηδενὸς ἁψαμένου τότε τῶν θηρίων αὐτῆς, καθαιρεθεῖσα ἀπὸ τοῦ ξύλου ἀνελήφθη πάλιν εἰς τὴν εἱρκτήν, εἰς ἄλλον ἀγῶνα τηρουμένη· ἵνα διὰ πλειόνων γυμνασμάτων νικήσασα, τῷ μὲν σκολιῷ ὄφει ἀπαραίτητον ποιήσῃ τὴν καταδίκην· προτρέψηται δὲ τοὺς ἀδελφοὺς ἡ μικρὰ καὶ ἀσθενὴς καὶ εὐκαταφρόνητος, μέγαν καὶ ἀκαταγώνιστον ἀθλητὴν Χριστὸν ἐνδεδυμένη· διὰ πολλῶν κλήρων ἐκβιάσασα τὸν ἀντικείμενον, καὶ δι' ἀγῶνος τὸν τῆς ἀφθαρσίας στεψαμένη στέφανον. Ὁ δὲ Ἄτταλος καὶ αὐτὸς μεγάλως ἐξαιτηθεὶς ὑπὸ τοῦ ὄχλου, καὶ γὰρ ἦν ὀνομαστός, ἕτοιμος εἰσῆλθεν ἀγωνιστὴς διὰ τὸ εὐσυνείδητον, ἐπειδὴ γνησίως ἐν τῇ Χριστιανῇ συντάξει ἦν γεγυμνασμένος, καὶ ἀεὶ μάρτυς ἐγεγόνει παρ' ἡμῖν ἀληθείας, καὶ περιαχθεὶς κύκλῳ

---

28) Cruci affixa est Blandina, utpote serva.

τοῦ ἀμφιθεάτρου [29]), πίνακος αὐτὸν προάγοντος ἐν ᾧ ἐπεγέγραπτο Ῥωμαϊστί· οὗτός ἐστιν Ἄτταλος ὁ Χριστιανός, καὶ τοῦ δήμου σφόδρα σφριγῶντος ἐπ᾽ αὐτῷ, μαθὼν ὁ ἡγεμὼν ὅτι Ῥωμαῖός ἐστιν, ἐκέλευσεν αὐτὸν ἀναληφθῆναι μετὰ καὶ τῶν λοιπῶν τῶν ἐν τῇ εἱρκτῇ ὄντων· περὶ ὧν ἐπέστειλε τῷ Καίσαρι, καὶ περιέμενε τὴν ἀπόφασιν τὴν ἀπ᾽ ἐκείνου. Ὁ δὲ διαμέσου καιρὸς οὐκ ἀργὸς αὐτοῖς οὐδὲ ἄκαρπος ἐγίνετο, ἀλλὰ διὰ τῆς ὑπομονῆς αὐτῶν τὸ ἀμέτρητον ἔλεος ἀνεφαίνετο Χριστοῦ· διὰ γὰρ τῶν ζώντων ἐζωοποιοῦντο τὰ νεκρά, καὶ μάρτυρες τοῖς μὴ μάρτυσι ἐχαρίζοντο, καὶ ἐνεγίνετο πολλὴ χαρὰ τῇ παρθένῳ μητρί [30]), οὓς ὡς νεκροὺς ἐξέτρωσε, τούτους ζῶντας ἀπολαμβανούσῃ. Δι᾽ ἐκείνων γὰρ οἱ πλείους τῶν ἠρνημένων ἀνεμητροῦντο, καὶ ἀνεκυΐσκοντο, καὶ ἀνεζωπυροῦντο, καὶ ἐμάνθανον ὁμολογεῖν, καὶ ζῶντες ἤδη καὶ τετονωμένοι προσῄεσαν τῷ βήματι, ἐγγλυκαίνοντος τοῦ τὸν μὲν θάνατον τοῦ ἁμαρτωλοῦ μὴ βουλομένου, ἐπὶ δὲ τὴν μετάνοιαν χρηστευομένου Θεοῦ, ἵνα καὶ πάλιν ἐπερωτηθῶσι παρὰ τοῦ ἡγεμόνος. Ἐπιστεί-

29) Usitatum erat Romanis gladiatores et bestiarios in amphitheatro circumducere, ut eorum vultus a populo conspicerentur.

30) Ecclesiam intelligit. Minime vero adsentio Strothio, qui ex ejusmodi locutionibus κοινωνεῖν τῇ μητρί, ἐν κοινωνίᾳ τῆς μητρὸς εἶναι enatam esse illam alteram adversus Christianos criminationem putat, quae Οἰδιποδείους μίξεις spectabat. Tales locutiones ad gentilium aures vix pervenire poterant atque a Christianis rarissime, ne dicam prorsus non usurpabantur; mihi certe exempla non praesto sunt.

λαντος γὰρ τοῦ Καίσαρος τοὺς μὲν ἀποτυμπανισθῆναι [31]· εἰ δέ τινες ἀρνοῖντο, τούτους ἀπολυθῆναι, τῆς ἐνθάδε πανηγύρεως, ἔστι δὲ αὕτη πολυάνθρωπος ἐκ πάντων τῶν ἐθνῶν συνερχομένων εἰς αὐτήν, ἀρχομένης συνίστασθαι, ἀνῆγεν ἐπὶ τὸ βῆμα θεατρίζων τοὺς μακαρίους, καὶ ἐμπομπεύων τοῖς ὄχλοις. Διὸ καὶ πάλιν ἀνήταζε καὶ ὅσοι μὲν ἐδόκουν πολιτείαν Ῥωμαίων ἐσχηκέναι, τούτων ἀπέτεμνε τὰς κεφαλάς· τοὺς δὲ λοιποὺς ἔπεμπεν εἰς θηρία. Ἐδοξάζετο δὲ μεγάλως ὁ Χριστὸς ἐπὶ τοῖς πρότερον ἀρνησαμένοις, τότε παρὰ τὴν τῶν ἐθνῶν ὑπόνοιαν ὁμολογοῦσι: καὶ γὰρ ἰδίᾳ οὗτοι ἀνητάζοντο, ὡς δῆθεν ἀπολυθησόμενοι, καὶ ὁμολογοῦντες προσετίθεντο τῷ τῶν μαρτύρων κλήρῳ. Ἔμειναν δὲ ἔξω οἱ μηδὲ ἴχνος πώποτε πίστεως, μηδὲ αἴσθησιν ἐνδύματος νυμφικοῦ, μηδὲ ἔννοιαν φόβου Θεοῦ σχόντες, ἀλλὰ καὶ διὰ τῆς ἀναστροφῆς αὐτῶν βλασφημοῦντες τὴν ὁδὸν [32]· τουτέστιν οἱ υἱοὶ τῆς ἀπωλείας. Οἱ δὲ λοιποὶ πάντες τῇ ἐκκλησίᾳ προσετέθησαν· ὧν καὶ ἀνεταζομένων, Ἀλέξανδρός τις, Φρὺξ μὲν τὸ γένος, ἰατρὸς δὲ τὴν ἐπιστήμην, πολλοῖς ἔτεσιν ἐν ταῖς Γαλλίαις διατρίψας, καὶ γνωστὸς σχεδὸν πᾶσι διὰ τὴν πρὸς Θεὸν ἀγάπην καὶ παῤῥησίαν τοῦ λόγου· ἦν γὰρ καὶ οὐκ

31) Cives Romani capite plexi sunt, provinciales ad bestias damnati, municipio [illegible]

32) Valesius recte explicat βλασφημεῖσθαι ποιοῦντες.

ἄμοιρος ἀποστολικοῦ χαρίσματος[33]· παρεστὼς τῷ βήματι καὶ νεύματι προτρέπων αὐτοὺς πρὸς τὴν ὁμολογίαν, φανερὸς ἦν τοῖς περιεστῶσι τὸ βῆμα ὥσπερ ὠδίνων[34]. Ἀγανακτήσαντες δὲ οἱ ὄχλοι ἐπὶ τὸ τοὺς πρότερον ἠρνημένους αὖθις ὁμολογεῖν, κατεβόησαν τοῦ Ἀλεξάνδρου, ὡς ἐκείνου τοῦτο ποιοῦντος, καὶ ἐπιστήσαντος τοῦ ἡγεμόνος καὶ ἀνετάσαντος αὐτὸν, ὅστις εἴη, τοῦ δὲ φήσαντος ὅτι Χριστιανὸς, ἐν ὀργῇ γενόμενος, κατέκρινεν αὐτὸν πρὸς θηρία, καὶ τῇ ἐπιούσῃ εἰσῆλθε μετὰ καὶ Ἀττάλου· καὶ γὰρ καὶ τὸν Ἄτταλον τῷ ὄχλῳ χαριζόμενος ὁ ἡγεμὼν ἐξέδωκε πάλιν πρὸς θηρία[35]. Οἳ καὶ διὰ πάντων διελθόντες τῶν ἐν τῷ ἀμφιθεάτρῳ πρὸς κόλασιν ἐξευρημένων ὀργάνων, καὶ μέγιστον ὑπομείναντες ἀγῶνα, τοὔσχατον ἐτύθησαν καὶ αὐτοί· τοῦ μὲν Ἀλεξάνδρου μήτε στενάξαντος, μήτε γρύξαντός τι ὅλως, ἀλλὰ κατὰ καρδίαν ὁμιλοῦντος τῷ Θεῷ· ὁ δὲ Ἄτταλος, ὁπότε ἐπὶ τῆς σιδηρᾶς ἐπετέθη καθέδρας καὶ περιεκαίετο, ἡνίκα ἡ ἀπὸ τοῦ σωματίου κνίσσα ἀνεφέρετο, ἔφη πρὸς τὸ πλῆθος τῇ Ῥωμαϊκῇ φωνῇ· ἰδοὺ τοῦτό ἐστιν ἀνθρώπους ἐσθίειν, ὃ ποιεῖτε ὑμεῖς, ἡμεῖς δὲ οὔτε ἀνθρώπους ἐσθίομεν, οὔτε ἕτερόν τι πονηρὸν πράτ-

[illegible]

33) h. e. donorum illorum particeps erat, quae primis ecclesiae temporibus cum Spiritu S. tribuebantur hominibus.

34) Tanquam parturiens; usus loquendi minime vulgaris. Infantes quasi parere videbatur ecclesia.

35) Quod legibus contrarium erat, civem enim Romanum bestiis dare haud licuit.

τομεν. Ἐπερωτώμενος δὲ, τί ὄνομα ἔχει ὁ Θεὸς, ἀπεκρίθη· ὁ Θεὸς ὄνομα οὐκ ἔχει ὡς ἄνθρωπος 36). Ἐπὶ πᾶσι δὲ τούτοις τῇ ἐσχάτῃ λοιπὸν ἡμέρᾳ τῶν μονομαχιῶν, ἡ Βλανδίνα πάλιν εἰσεκομίζετο, μετὰ καὶ Ποντικοῦ παιδαρίου ὡς πεντεκαίδεκα ἐτῶν. Οἳ καὶ καθ' ἡμέραν εἰσήγοντο πρὸς τὸ βλέπειν τὴν τῶν λοιπῶν κόλασιν, καὶ ἠναγκάζοντο ὀμνύναι κατὰ τῶν εἰδώλων αὐτῶν, καὶ διὰ τὸ ἐμμένειν εὐσταθῶς καὶ ἐξουθενεῖν αὐτούς, ἠγριώθη πρὸς αὐτοὺς τὸ πλῆθος, ὡς μήτε τὴν ἡλικίαν τοῦ παιδὸς οἰκτεῖραι, μήτε τὸ γύναιον αἰδεσθῆναι. Πρὸς πάντα δὲ τὰ δεινὰ παρέβαλλον αὐτούς, καὶ διὰ πάσης ἐν κύκλῳ διῆγον κολάσεως, ἐπαλλήλως ἀναγκάζοντες ὀμόσαι. Ἀλλὰ μὴ δυνάμενοι τοῦτο πρᾶξαι, ὁ μὲν γὰρ Ποντικὸς ὑπὸ τῆς ἀδελφῆς παρωρμημένος, ὡς καὶ τὰ ἔθνη βλέπειν ὅτι ἐκείνη ἦν προτρεπομένη καὶ στηρίζουσα αὐτὸν, πᾶσαν κόλασιν γενναίως ὑπομείνας, ἀπέδωκε τὸ πνεῦμα· ἡ δὲ μακαρία Βλανδίνα πάντων ἐσχάτη, καθάπερ μήτηρ εὐγενὴς παρορμήσασα τὰ τέκνα καὶ νικηφόρους προπέμψασα πρὸς τὸν βασιλέα, ἀναμετρουμένη καὶ αὐτὴ πάντα τὰ τῶν παίδων ἀγωνίσματα, ἔσπευδε πρὸς αὐτοὺς χαίρουσα καὶ ἀγαλλιωμένη ἐπὶ τῇ ἐξόδῳ, ὡς εἰς νυμφικὸν δεῖπνον κεκλημένη, ἀλλὰ μὴ πρὸς θηρία βεβλημένη. Καὶ μετὰ τὰς μάστιγας, μετὰ τὰ θηρία, μετὰ τὸ τήγα-

36) Saepius legimus interrogatos esse Christianos de nomine Dei, quia sine nomine Deus, Deus esse gentilibus non videbatur.

ανον[37]), ἔσχατον εἰς γυργαθὸν βληθεῖσα, ταύρῳ παρεβλήθη[38]· καὶ ἱκανῶς ἀναβληθεῖσα πρὸς τοῦ ζώου, μηδὲ αἴσθησιν ἔτι τῶν συμβαινόντων ἔχουσα διὰ τὴν ἐλπίδα καὶ ἐποχὴν τῶν πεπιστευμένων καὶ ὁμιλίαν πρὸς Χριστόν, ἐτύθη καὶ αὐτή· καὶ αὐτῶν ὁμολογούντων τῶν ἐθνῶν, ὅτι μηδεπώποτε παρ' αὐτοῖς γυνὴ τοιαῦτα καὶ τοσαῦτα ἔπαθεν. Ἀλλ' οὐδ' οὕτως κόρον ἐλάμβανεν αὐτῶν ἡ μανία καὶ ἡ πρὸς τοὺς ἁγίους ὠμότης. Ὑπὸ γὰρ ἀγρίου θηρὸς[39]) ἄγρια καὶ βάρβαρα φῦλα ταραχθέντα, δυσπαύστως εἶχε, καὶ ἄλλην ἰδίαν ἀρχὴν ἐπὶ τοῖς σώμασιν ἐλάμβανεν ἡ ὕβρις αὐτῶν. Τὸ γὰρ νενικῆσθαι αὐτοὺς οὐκ ἐδυσώπει, διὰ τὸ μὴ ἔχειν ἀνθρώπινον ἐπιλογισμόν· μᾶλλον δὲ καὶ ἐξέκαιεν αὐτῶν τὴν ὀργὴν καθάπερ θηρίου, καὶ τοῦ ἡγεμόνος καὶ τοῦ δήμου, τὸ ὅμοιον εἰς ἡμᾶς ἄδικον ἐπιδεικνυμένων μῖσος, ἵνα ἡ γραφὴ πληρωθῇ[40]) · ὁ ἄνομος ἀνομησάτω ἔτι, καὶ ὁ δίκαιος δικαιωθήτω ἔτι· καὶ γὰρ τοὺς ἐναποπνιγέντας τῇ εἱρκτῇ παρέβαλλον κυσίν, ἐπιμελῶς παραφυλάσσοντες νύκτωρ καὶ μεθ' ἡμέραν, μὴ κηδευθῇ τις ὑφ' ἡμῶν. Καὶ τότε δὴ προθέντες τά τε τῶν θηρίων, τά τε

37) τήγανον idem est, quod supra vocabant cathedram ferream, cui impositi martyres, tanquam in sartagine torrebantur.

38) Saepius homines reticulis seu pellibus inclusi tauris objiciebantur, qui eos in altum jactabant.

39) Intelligitur diabolus, quem supra θὴρ dixerat autor.

40) Dan. 12, 10. et Apoc. 22, 11.

τοῦ πυρὸς λείψανα, τὰ μὲν ἐσπαραγμένα, τὰ δὲ ἠνθρακωμένα, καὶ τῶν λοιπῶν τὰς κεφαλὰς σὺν τοῖς ἀποτμήμασιν αὐτῶν ὡσαύτως ἀτάφους παρεφύλαττον μετὰ στρατιωτικῆς ἐπιμελείας ἡμέραις συχναῖς. καὶ οἱ μὲν ἐνεβριμοῦντο καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτοῖς, ζητοῦντές τινα περισσοτέραν ἐκδίκησιν παρ' αὐτῶν λαβεῖν· οἱ δὲ ἐνεγέλων καὶ ἐπετώθαζον μεγαλύνοντες αὐτῶν τὰ εἴδωλα καὶ ἐκείνοις προσάπτοντες τὴν τούτων τιμωρίαν· οἱ δὲ ἐπιεικέστεροι καὶ κατὰ ποσὸν συμπαθεῖν δοκοῦντες, ὠνείδιζον πολὺ λέγοντες· ποῦ ὁ Θεὸς αὐτῶν, καὶ τί αὐτοὺς ὤνησεν ἡ θρησκεία, ἣν καὶ πρὸ τῆς ἑαυτῶν εἵλοντο ψυχῆς; Καὶ τὰ μὲν ἀπ' ἐκείνων, τοιαύτην εἶχε τὴν ποικιλίαν· τὰ δὲ καθ' ἡμᾶς ἐν μεγάλῳ καθειστήκει πένθει, διὰ τὸ μὴ δύνασθαι τὰ σώματα κρύψαι τῇ γῇ, οὔτε γὰρ νὺξ συνεβάλλετο ἡμῖν πρὸς τοῦτο, οὔτε ἀργύρια ἔπειθεν, οὔτε λιτανεία ἐδυσώπει· παντὶ δὲ τρόπῳ παρετήρουν ὡς μέγα τι κερδανοῦντες, εἰ μὴ τύχοιεν ταφῆς.

Τούτοις ἑξῆς μεθ' ἕτερα φασί.

Τὰ οὖν σώματα τῶν μαρτύρων παντοίως παραδειγματισθέντα καὶ αἰθριασθέντα ἐπὶ ἡμέρας ἕξ, μετέπειτα καέντα καὶ αἰθαλωθέντα ὑπὸ τῶν ἀνόμων, κατεσαρώθη εἰς τὸν Ῥοδανὸν ποταμὸν πλησίον παραῤῥέοντα, ὅπως μηδὲ λείψανον αὐτῶν φαίνηται ἐπὶ τῆς γῆς ἔτι. Καὶ ταῦτ' ἔπραττον, ὡς δυνάμενοι νικῆσαι τὸν Θεὸν καὶ ἀφελέσθαι αὐτῶν τὴν παλιγγενεσίαν, ἵνα, ὡς ἔλεγον, ἐκεῖνοι μηδὲ ἐλπίδα σχῶσιν ἀναστάσεως, ἐφ' ᾗ

πεποιθότες ξένην τινὰ καὶ καινὴν εἰσάγουσιν ἡμῖν θρησκείαν καὶ καταφρονοῦσι τῶν δεινῶν, ἕτοιμοι καὶ μετὰ χαρᾶς ἥκοντες εἰς τὸν θάνατον. Νῦν ἴδωμεν εἰ ἀναστήσονται, καὶ εἰ δύναται βοηθῆσαι αὐτοῖς ὁ Θεὸς αὐτῶν, καὶ ἐξελέσθαι ἐκ τῶν χειρῶν ἡμῶν.

Τοιαῦτα 41) καὶ τὰ κατὰ τὸν δεδηλωμένον αὐτοκράτορα 42) ταῖς Χριστοῦ συμβέβηκεν ἐκκλησίαις· ἀφ' ὧν καὶ τὰ ἐν ταῖς λοιπαῖς ἐπαρχίαις ἐνηργημένα εἰκότι λογισμῷ στοχάζεσθαι πάρεστιν. Ἄξιον τούτοις ἐκ τῆς αὐτῆς ἐπισυνάψαι γραφῆς λέξεις ἑτέρας, δι' ὧν τὸ ἐπιεικὲς καὶ φιλάνθρωπον τῶν δεδηλωμένων μαρτύρων ἀναγέγραπται τούτοις αὐτοῖς ῥήμασιν.

Οἳ καὶ ἐπὶ τοσοῦτον ζηλωταὶ καὶ μιμηταὶ Χριστοῦ ἐγίνοντο, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων [illegible]

41) Caput II libri V incipit.

42) Haec verba respiciunt ad prooemium libri V. Ibi narrat hanc Lugdunensium persecutionem fuisse anno 17. imperatoris Antonini Veri; [illegible] hic significat. Quaeritur vero quis sit ille Antoninus Verus, utrum Lucius Verus, an M. Aurelius. Dissentiunt docti in hac re difficillima, mihi tamen eorum sententia magis placet, qui Lucium Verum intelligunt et legunt 7 anno imperatoris Antonini Veri. Nam ita ipse Eusebius legit in chronico atque finis 4 et initium 5 cap. hujus libri clare ostendunt Eusebium significasse Lucium Verum. Epistola vero martyrum Lugdunensium ad Eleutherum, Romae episcopum, scripta, (Eus. V, 4.) huic sententiae obstat; Eleutherus enim post mortem demum Lucii Veri episcopatu fungi coepit. Res itaque incerta manet, nisi quis cum Strothio (in versione vernacul. hist. eccl. Eus. ad h. l.) interpolatum esse Eleutheri nomen putaverit.

οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἶσα Θεῷ [43]), ὥστε ἐν τοιαύτῃ δόξῃ ὑπάρχοντες, καὶ οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πολλάκις μαρτυρήσαντες, καὶ ἐκ θηρίων αὖθις ἀναληφθέντες, καὶ τὰ καυτήρια καὶ τοὺς μώλωπας καὶ τὰ τραύματα ἔχοντες περικείμενα, οὔτ' αὐτοὶ μάρτυρας ἑαυτοὺς ἀνεκήρυττον, οὔτε μὴν ἡμῖν ἐπέτρεπον τούτῳ τῷ ὀνόματι προσαγορεύειν αὐτούς· ἀλλ' εἴποτέ τις ἡμῶν δι' ἐπιστολῆς ἢ διὰ λόγου μάρτυρας αὐτοὺς προσεῖπεν, ἐπέπλησσον πικρῶς, ἡδέως γὰρ παρεχώρουν τὴν τῆς μαρτυρίας προσηγορίαν τῷ Χριστῷ, τῷ πιστῷ καὶ ἀληθινῷ μάρτυρι, καὶ πρωτοτόκῳ τῶν νεκρῶν, καὶ ἀρχηγῷ τῆς ζωῆς τοῦ Θεοῦ, καὶ ἐπεμιμνήσκοντο τῶν ἐξεληλυθότων ἤδη μαρτύρων, καὶ ἔλεγον· ἐκεῖνοι ἤδη μάρτυρες, οὓς ἐν τῇ ὁμολογίᾳ Χριστὸς ἠξίωσεν ἀναληφθῆναι, ἐπισφραγισάμενος αὐτῶν διὰ τῆς ἐξόδου τὴν μαρτυρίαν, ἡμεῖς δὲ ὁμόλογοι μέτριοι καὶ ταπεινοί. Καὶ μετὰ δακρύων παρεκάλουν τοὺς ἀδελφούς, δεόμενοι ἵνα ἐκτενεῖς εὐχαὶ γίνωνται πρὸς τὸ τελειωθῆναι αὐτούς, καὶ τὴν μὲν δύναμιν τῆς μαρτυρίας ἔργῳ ἐπεδείκνυντο, πολλὴν παῤῥησίαν ἄγοντες πρὸς πάντα τὰ ἔθνη· καὶ τὴν εὐγένειαν διὰ τῆς ὑπομονῆς καὶ ἀφοβίας καὶ ἀτρομίας, φανερὰν ἐποίουν· τὴν δὲ πρὸς τοὺς ἀδελφοὺς τῶν μαρτύρων προσηγορίαν παρῃτοῦντο, ἐμπεπλησμένοι φόβου Θεοῦ.

Καὶ αὖθις μετὰ βραχέα φασίν.

Ἐταπείνουν ἑαυτοὺς ὑπὸ τὴν κραταιὰν χεῖρα,

43) Phil. 2, 6.

ὑφ' ἧς ἱκανῶς νῦν εἰσιν ὑψωμένοι. Τότε δὲ πᾶσι μὲν ἀπελογοῦντο, κατηγόρουν δὲ οὐδενός· ἔλυαν μὲν ἅπαντας, ἐδέσμευον δὲ οὐδένα· καὶ ὑπὲρ τῶν τὰ δεινὰ διατιθέντων ηὔχοντο, καθάπερ Στέφανος ὁ τέλειος μάρτυς· Κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην· εἰ δ' ὑπὲρ τῶν λιθαζόντων ἐδέετο, πόσῳ μᾶλλον ὑπὲρ τῶν ἀδελφῶν.

Καὶ αὖθις φασὶ μεθ' ἕτερα.

λει ταύτῃ μάντις καὶ ποιητής, ὅστις ἐκεῖνος ἦν, ἐκίνησε καὶ παρώρμησε καθ' ἡμῶν τὰ πλήθη τῶν ἐθνῶν, εἰς τὴν ἐπιχώριον αὐτοὺς δεισιδαιμονίαν ἀναρριπίσας. Οἱ δ' ἐρεθισθέντες ὑπ' αὐτοῦ καὶ πάσης ἐξουσίας εἰς ἀνοσιουργίαν λαβόμενοι, μόνην εὐσέβειαν [τὴν θρησκείαν τῶν δαιμόνων ²)] ταύτην ὑπέλαβον, τὸ καθ' ἡμῶν φονᾶν. Πρῶτον μὲν οὖν πρεσβύτην Μετρᾶν ὀνόματι συναρπάσαντες καὶ κελεύσαντες ἄθεα λέγειν ῥήματα, μὴ πειθόμενον ξύλοις τε παίοντες τὸ σῶμα καὶ καλάμοις ὀξέσι τὸ πρόσωπον καὶ τοὺς ὀφθαλμοὺς κεντοῦντες, ἀγαγόντες εἰς τὸ προάστειον κατελιθοβόλησαν. Εἶτα πιστὴν γυναῖκα Κοίντον καλουμένην ἐπὶ τὸ εἰδωλεῖον ἀγαγόντες, ἠνάγκαζον προσκυνεῖν· ἀποστρεφομένην δὲ καὶ βδελυττομένην, ἐκδήσαντες τῶν ποδῶν, διὰ πάσης τῆς πόλεως κατὰ τοῦ τραχέος λιθοστρώτου σύροντες, προσαρασσομένην τοῖς μυλιαίοις λίθοις, ἅμα καὶ μαστιγοῦντες, ἐπὶ τὸν αὐτὸν ἀγαγόντες κατέλευσαν τόπον. Εἶθ' ὁμοθυμαδὸν ἅπαντες ὥρμησαν ἐπὶ τὰς τῶν θεοσεβῶν οἰκίας καὶ οὓς ἐγνώριζον ἕκαστοι γειτνιῶντας, ἐπισπεύδοντες ἦγον, ἐσύλων τε καὶ διήρπαζον, τὰ μὲν τιμιώτερα τῶν κειμηλίων νοσφιζόμενοι, τὰ δὲ εὐτελέστερα καὶ ὅσα ἐκ ξύλων ἐπεποίητο, διαρριπτοῦντες καὶ κατακαίοντες ἐν ταῖς ὁδοῖς, ἑαλωκυίας ὑπὸ πολεμίων πόλεως παρεῖχον θέαν. Ἐξέκλινον δὲ καὶ ὑπανεχώ-

2) Verba uncis inclusa a scholiasta inepto adscripta videntur Valesio et Strothio.

ρουν οἱ ἀδελφοὶ, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων, ὁμοίως ἐκείνοις οἷς καὶ Παῦλος ἐμαρτύρησε, μετὰ χαρᾶς προσεδέξαντο, καὶ οὐκ οἶδ' εἴ τις, πλὴν εἰ μή πού τις εἷς ἐμπεσὼν, μέχρι γε τούτου τὸν κύριον ἠρνήσατο. Ἀλλὰ καὶ τὴν θαυμασιωτάτην τότε παρθένον πρεσβῦτιν Ἀπολλωνίαν διαλαβόντες, τοὺς μὲν ὀδόντας ἅπαντας, κόπτοντες τὰς σιαγόνας ἐξήλασαν· πυρὰν δὲ νήσαντες πρὸ τῆς πόλεως, ζῶσαν ἠπείλουν κατακαύσειν, εἰ μὴ συνεκφωνήσειεν αὐτοῖς τὰ τῆς ἀσεβείας κηρύγματα 3). Ἡ δ' ὑποπαραιτησαμένη βραχὺ καὶ ἀνεθεῖσα, συντόνως ἐπεπήδησεν εἰς τὸ πῦρ καὶ καταπέφλεκται. Σεραπίωνά τε καταλαβόντες ἐφέστιον, σκληραῖς βασάνοις αἰκισάμενοι καὶ πάντα τὰ ἄρθρα διακλάσαντες, ἀπὸ τοῦ ὑπερῴου πρηνῆ κατέρριψαν. Οὐδεμία δὲ ὁδὸς, οὐ λεωφόρος, οὐ στενωπὸς ἡμῖν βάσιμος ἦν, οὐ νύκτωρ, οὐ μεθημέραν, ἀεὶ καὶ πανταχοῦ πάντων κεκραγότων, εἰ μὴ τὰ δύσφημά τις ἀνυμνοίη ῥήματα, τοῦτον δ' εὐθέως δεῖν σύρεσθαί τε καὶ πίμπρασθαι. Καὶ ταῦτ' ἐπιπολὺ μὲν τοῦτον ἤκμασε τὸν τρόπον. Διαδεξαμένη δὲ τοὺς ἀθλίους ἡ στάσις καὶ ὁ πόλεμος ὁ ἐμφύλιος, τὴν καθ' ἡμῶν ὠμότητα πρὸς ἀλλήλους αὐτῶν ἔτρεψε. Καὶ σμικρὸν μὲν προσανεπνεύσαμεν, ἀσχολίαν τοῦ πρὸς ἡμᾶς θυμοῦ λαβόντων, εὐθέως δὲ ἡ τῆς βασιλείας ἐκείνης τῆς εὐμενεστέρας ἡμῖν μεταβολὴ

3) Aliis locis ait Dionysius ῥήματα δύσφημα sive ἄθεοι φωναί. Significatur: Christo maledicere et clamare: αἶρε τοὺς ἀθέους.

διηγγέλλετο [4]), καὶ πολὺς ὁ τῆς ἐφ' ἡμᾶς ἀπειλῆς φόβος ἀνετείνετο. Καὶ δὴ παρῆν τὸ πρόσταγμα, αὐτὸ σχεδὸν ἐκεῖνο οἷον τὸ προρρηθὲν ὑπὸ τοῦ κυρίου ἡμῶν ἀποφαῖνον τὸ φοβερώτατον, ὡς εἰ δυνατὸν σκανδαλίσαι καὶ τοὺς ἐκλεκτούς. Πλὴν πάντες γε κατεπτήχεισαν· καὶ πολλοὶ μὲν εὐθέως τῶν περιφανεστέρων, οἱ μὲν ἀπήντων δεδιότες· οἱ δὲ δημοσιεύοντες ὑπὸ τῶν πράξεων ἤγοντο [5])· οἱ δὲ ὑπὸ τῶν ἀμφ' αὐτοὺς ἐφείλκοντο, ὀνομαστί τε καλούμενοι ταῖς ἀνάγνοις καὶ ἀνιέροις θυσίαις προσῄεσαν· οἱ μὲν ὠχριῶντες καὶ τρέμοντες, ὥσπερ οὐ θύσοντες, ἀλλ' αὐτοὶ θύματα καὶ σφάγια τοῖς εἰδώλοις ἐσόμενοι, ὡς ὑπὸ πολλοῦ τοῦ περιεστῶτος δήμου χλεύην αὐτοῖς ἐπιφέρεσθαι, καὶ δήλους μὲν εἶναι πρὸς πάντας, δειλοὺς ὑπάρχοντας καὶ πρὸς τὸ τεθνάναι καὶ πρὸς τὸ θῦσαι· οἱ δέ τινες ἑτοιμότερον τοῖς βωμοῖς προσέτρεχον, ἰσχυριζόμενοι τῇ θρασύτητι, τὸ μηδὲ πρότερον χριστιανοὶ γεγονέναι· περὶ ὧν ἡ τοῦ κυρίου πρόρρησις ἀληθεστάτη, ὅτι δυσκόλως σωθήσονται. Τῶν δὲ λοιπῶν οἱ μὲν εἵποντο τούτοις ἑκατέροις, οἱ δὲ ἔφευγον, οἱ δὲ ἡλίσκοντο· καὶ τούτων οἱ μὲν ἄχρι δεσμῶν καὶ φυλακῆς χωρήσαντες, καί τινες καὶ πλείονας ἡμέρας καθειρχθέντες, εἶτα καὶ πρὶν εἰς δικαστήριον εἰσελθεῖν

---

4) Philippi scilicet mors, quo regnante omnia haec acciderant, prout epistolae initium docet.

5) Scil. ad curiam vel forum, ubi promulgabatur Caesaris edictum, atque in aris sacrificia peragebantur; δημοσιεύοντες enim sunt decuriones, qui in foro sive in publico versabantur.

ἐξωμόσαντο· οἱ δὲ καὶ βασάνοις ἐπὶ πλεῖον ἐγκαρτερήσαντες, πρὸς τὸ ἑξῆς ἀπεῖπον. Οἱ δὲ στερροὶ καὶ μακάριοι στύλοι τοῦ κυρίου, κραταιωθέντες ὑπ' αὐτοῦ, καὶ τῆς ἰσχυρᾶς ἐν ἑαυτοῖς πίστεως ἀξίαν καὶ ἀνάλογον δύναμιν καὶ καρτερίαν λαβόντες, θαυμαστοὶ γεγόνασιν αὐτοῦ τῆς βασιλείας μάρτυρες. Ὧν πρῶτος Ἰουλιανός, ἄνθρωπος ποδαγρός, μὴ στῆναι, μὴ βαδίσαι δυνάμενος, σὺν ἑτέροις δύο τοῖς φέρουσιν αὐτόν, προσήχθη· ὧν ὁ μὲν ἕτερος, εὐθὺς ἠρνήσατο· ὁ δ' ἕτερος Κρονίων ὀνόματι, ἐπίκλην δὲ Εὔνους, καὶ αὐτὸς ὁ πρεσβύτης Ἰουλιανὸς ὁμολογήσαντες τὸν κύριον, διὰ πάσης τῆς πόλεως μεγίστης οὔσης ὡς ἴστε, καμήλοις ἐποχούμενοι καὶ μετέωροι μαστιγούμενοι, τέλος ἀσβέστῳ πυρί, περιχεομένου τοῦ δήμου παντός, κατεκάησαν. Στρατιώτης τε αὐτοῖς ἀπαγομένοις παραστὰς καὶ τοῖς ἐφυβρίζουσιν ἐναντιωθείς, ἐκβοησάντων ἐκείνων προσαχθεὶς ὁ ἀνδρειότατος ὁπλομάχος τοῦ Θεοῦ Βησᾶς, κἂν τῷ μεγάλῳ πολέμῳ τῷ περὶ τῆς εὐσεβείας ἀριστεύσας, ἀπετμήθη τὴν κεφαλήν. Καί τις ἕτερος τὸ μὲν γένος Λίβυς, τὴν δὲ προσηγορίαν ἅμα καὶ τὴν εὐλογίαν ἀληθὴς Μάκαρ, προτροπῆς αὐτῷ πολλῆς ὑπὸ τοῦ δικαστοῦ πρὸς ἄρνησιν γενομένης, οὐχ ὑπαχθεὶς ζῶν καταφλέγεται. Ἐπίμαχός τε μετ' αὐτοὺς καὶ Ἀλέξανδρος, μετὰ πολὺν ὃν ἔμειναν δεσμῶται χρόνον, μυρίας διενεγκόντες ἀλγηδόνας, ξυστῆρας, μάστιγας, πυρὶ ἀσβέστῳ καὶ οὗτοι διεχύθησαν. Καὶ σὺν αὐτοῖς γυναῖκες τέσσαρες· Ἀμμωνάριον μὲν ἁγία παρθένος, πάνυ φιλονείκως αὐτὴν ἐπιπλεῖ-

στασιν τοῦ δικαστοῦ βασανίσαντος, ἅτε προαποφηναμένην ὡς μηδὲν ὧν ἐκεῖνος κελεύοι, φθέγξαιτο, ἀληθεύσασα τὴν ἐπαγγελίαν ἀπήχθη. Αἱ δὲ λοιπαί, ἡ σεμνοπρεπεστάτη πρεσβῦτις Μερκουρία καὶ ἡ πολύπαις μὲν, οὐχ ὑπὲρ τὸν κύριον δὲ ἀγαπήσασα ἑαυτῆς τὰ τέκνα Διονυσία, καὶ Ἀμμωνάριον ἑτέρα 6), καταιδεσθέντος εἰς ἀνήνυτον ἔτι βασανίζειν, καὶ ὑπὸ γυναικῶν ἡττᾶσθαι τοῦ ἡγεμόνος, σιδήρῳ τεθνᾶσι, μηκέτι βασάνων πεῖραν λαβοῦσαι· τὰς γὰρ ὑπὲρ πασῶν ἡ πρόμαχος Ἀμμωνάριον ἀνεδέδεκτο βασάνους. Ἥρων δὲ καὶ Ἀτὴρ καὶ Ἰσίδωρος Αἰγύπτιοι, καὶ σὺν αὐτοῖς παιδάριον ὡς πεντεκαιδεκαέτης ὁ Διόσκορος, παρεδόθησαν. Καὶ πρῶτον τὸ μειράκιον λόγοις τε ἀπατᾶν ὡς εὐπαράγωγον, καὶ βασάνοις καταναγκάζειν ὡς εὐένδοτον πειρώμενος, οὔτ' ἐπείσθη οὔτ' εἶξεν ὁ Διόσκορος· τοὺς δὲ λοιποὺς ἀγριώτατα καταξήνας ἐγκαρτερήσαντας, πυρὶ καὶ τούτους παραδέδωκε· τὸν δὲ Διόσκορον ἐλλαμπρυνάμενόν τε δημοσίᾳ, καὶ σοφώτατα πρὸς τὰς ἰδίας πεύσεις ἀποκρινάμενον θαυμάσας, παρῆκεν· ὑπέρθεσιν, φήσας, εἰς μετάνοιαν αὐτῷ διὰ τὴν ἡλικίαν ἐπιμετρεῖν. Καὶ νῦν ὁ θεοπρεπέστατος Διόσκορος σὺν ἡμῖν ἐστὶν εἰς μακρότερον τὸν ἀγῶνα καὶ διαρκέστερον μείνας τὸν ἄθλον. Νεμεσίων δέ τις κἀκεῖνος Αἰγύπτιος, ἐσυκοφαντήθη μὲν ὡς δὴ σύνοικος λῃστῶν· ἀποδυσάμε-

6) καὶ Ἀμμωνάριον ἑτέρα. Haec verba in codd. Eusebii non leguntur, Valesius vero ex Rufini versione et Christophorsono ea recepit, Strothius quoque retinuit, quia quartae mulierculae nomen alioquin abest.

νος δὲ ταύτην παρὰ τῷ ἑκατοντάρχῳ τὴν ἀλλοτριωτάτην κατ' αὐτοῦ διαβολήν, καταμηνυθεὶς ὡς χριστιανός, ἧκε δεσμώτης ἐπὶ τὸν ἡγούμενον. Ὁ δὲ ἀδικώτατος διπλαῖς αὐτὸν ἢ τοὺς λῃστὰς ταῖς τε βασάνοις καὶ ταῖς μάστιξι λυμηνάμενος, μεταξὺ τῶν λῃστῶν κατέφλεξε, τιμηθέντα τὸν μακάριον, τῷ τοῦ Χριστοῦ παραδείγματι. Ἀθρόον δέ τι σύνταγμα στρατιωτικὸν Ἄμμων καὶ Ζήνων καὶ Πτολεμαῖος καὶ Ἰγγένης καὶ σὺν αὐτοῖς πρεσβύτης Θεόφιλος, εἱστήκεισαν πρὸ τοῦ δικαστηρίου· κρινομένου δή τινος ὡς χριστιανοῦ καὶ πρὸς ἄρνησιν ἤδη ῥέποντος, ἔπριοντο οὗτοι παρεστηκότες, καὶ τοῖς τε προσώποις ἔνευον, καὶ τὰς χεῖρας ἀνέτεινον, καὶ συνεσχηματίζοντο τοῖς σώμασιν· ἐπιστροφῆς δὲ πάντων πρὸς αὐτοὺς γενομένης, πρίν τινας αὐτῶν ἄλλως λαβέσθαι, φθάσαντες ἐπὶ τὸ βάθρον 7) ἀνέδραμον, εἶναι χριστιανοὶ λέγοντες· ὡς τόν τε ἡγεμόνα καὶ τοὺς συνέδρους ἐμφόβους γενέσθαι, καὶ τοὺς μὲν κρινομένους εὐθαρσεστάτους, ἐφ' οἷς πείσονται φαίνεσθαι, τοὺς δὲ δικάζοντας ἀποδειλιᾶν. Καὶ οὗτοι μὲν ἐκ δικαστηρίων ἐνεπόμπευσαν καὶ ἠγαλλιάσαντο τῇ μαρτυρίᾳ, θριαμβεύοντος αὐτοὺς ἐνδόξως τοῦ Θεοῦ.

Ibid. cap. 42. ex eadem epistola.

Ἄλλοι δὲ πλεῖστοι κατὰ πόλεις καὶ κώμας ὑπὸ τῶν ἐθνῶν διεσπάσθησαν· ὧν ἑνὸς παραδείγματος ἕνεκεν, ἐπιμνησθήσομαι. Ἰσχυρίων

7) βάθρον subsellium est, ubi sedebant rei.

ἐπιτρόπῳ τινὶ τῶν ἀρχόντων ἐπὶ μισθῷ. Τοῦτον ὁ μισθοδότης ἐκέλευε θῦσαι, μὴ πειθόμενον ὑβρίζειν, ἐμμένοντα προπηλακίζειν, ὑφισταμένου βακτηρίαν μεγίστην λαβὼν, διὰ τῶν ἐντέρων καὶ τῶν σπλάγχνων διώσας ἀπέκτεινε. Τί δεῖ λέγειν τὸ πλῆθος τῶν ἐν ἐρημίαις καὶ ὄρεσι πλανηθέντων, ὑπὸ λιμοῦ, καὶ δίψης, καὶ κρύους, καὶ νόσων, καὶ λῃστῶν, καὶ θηρίων διαφθαρμένων; ὧν οἱ περιγενόμενοι τῆς ἐκείνων εἰσὶν ἐκλογῆς καὶ νίκης μάρτυρες. Ἓν δὲ καὶ τούτων εἰς δήλωσιν ἔργον παραθήσομαι. Χαιρήμων ἦν ὑπεργήρως τῆς Νείλου καλουμένης πόλεως ἐπίσκοπος. Οὗτος εἰς τὸ Ἀράβιον ὄρος ἅμα τῇ συμβίῳ ἑαυτοῦ φυγὼν οὐκ ἐπανελήλυθεν, οὐδὲ ἠδυνήθησαν ἰδεῖν οὐκέτι καίτοι πολλὰ διερευνησάμενοι οἱ ἀδελφοί, οὔτε αὐτοὺς οὔτε τὰ σώματα εὗρον. Πολλοὶ δὲ οἱ κατ᾽ αὐτὸ τὸ Ἀραβικὸν ὄρος ἐξανδραποδισθέντες ὑπὸ βαρβάρων Σαρακηνῶν, οἱ μὲν μόλις ἐπὶ πολλοῖς χρήμασιν ἐλυτρώθησαν· οἱ δὲ μέχρι νῦν οὐδέπω. Καὶ ταῦτα διεξῆλθον οὐ μάτην, ἀδελφέ· ἀλλ᾽ ἵνα εἰδῇς ὅσα καὶ ἡλίκα δεινὰ παρ᾽ ἡμῖν συνέβη· ὧν οἱ μᾶλλον πεπειραμένοι, πλείονα ἂν εἰδεῖεν.

Εἶτα τούτοις (ait Eusebius) ἐπιφέρει μετὰ βραχέα λέγων.

Αὐτοὶ τοίνυν οἱ θεῖοι μάρτυρες παρ᾽ ἡμῖν, οἱ νῦν τοῦ Χριστοῦ πάρεδροι καὶ τῆς βασιλείας αὐτοῦ κοινωνοὶ καὶ μέτοχοι τῆς κρίσεως αὐτοῦ, καὶ συνδικάζοντες αὐτῷ, τῶν παραπεπτωκότων ἀδελφῶν τινας ὑπευθύνους τοῖς τῶν θυσιῶν ἐγκλήμασι γενομένους, προσελάβοντο· καὶ τὴν ἐπιστρο-

φὴν καὶ μετάνοιαν αὐτῶν ἰδόντες, δεκτήν τε γενέσθαι δυναμένην τῷ μὴ βουλομένῳ καθόλου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν, δοκιμάσαντες εἰσεδέξαντο καὶ συνήγαγον καὶ συνέστησαν καὶ προσευχῶν αὐτοῖς καὶ ἑστιάσεως ἐκοινώνησαν 8). Τί οὖν ἡμῖν, ἀδελφοί, περὶ τούτων συμβουλεύετε; τί ἡμῖν πρακτέον; σύμψηφοι καὶ ὁμογνώμονες αὐτοῖς καταστῶμεν, καὶ τὴν κρίσιν αὐτῶν καὶ τὴν χάριν φυλάξωμεν, καὶ τοῖς ἐλεηθεῖσιν ὑπ' αὐτῶν χρηστευσώμεθα; ἢ τὴν κρίσιν αὐτῶν ἄδικον ποιησώμεθα, καὶ δοκιμαστὰς αὐτοὺς τῆς ἐκείνων γνώμης ἐπιστήσωμεν, καὶ τὴν χρηστότητα λυπήσωμεν, καὶ τὴν τάξιν ἀνασκευάσωμεν 9);

XVI.

DE FATIS DIONYSII ALEXANDRINI IN PERSECUTIONE DECIANA.

(Ex ejus epist. ad Germanum ap. Eus. H. E. VI, 40.)

Ἐγὼ δὲ καὶ ἐνώπιον τοῦ Θεοῦ λαλῶ, καὶ αὐτὸς οἶδεν ὅτι οὐ ψεύδομαι, οὐδεμίαν ἐπ' ἐμαυ-

8) Duplex erat communio precum atque eucharistiae, pro spatio poenitentiae. Hoc loco tamen de privata communione agitur, quam martyres lapsis concedebant.

9) Infra uberius exponit Dionysius quid senserit de lapsis recipiendis.

τοῦ βαλλόμενος, οὐδὲ ἀθεεὶ πεποίημαι τὴν φυγήν [1]· ἀλλὰ καὶ πρότερον [2], κατὰ τὸν Δεκίου προτεθέντος διωγμοῦ, Σαβῖνος [3] αὐτῆς ὥρας φρουμεντάριον [4] ἔπεμψεν ἐπιζητήσοντά με. Κἀγὼ μὲν τεσσάρων ἡμερῶν ἐπὶ τῆς οἰκίας ἔμεινα, τὴν ἄφιξιν τοῦ φρουμενταρίου προσδοκῶν, ὁ δὲ πάντα μὲν περιῆλθεν ἀνερευνῶν, τὰς ὁδούς, τοὺς ποταμούς, τοὺς ἀγρούς, ἔνθα κρύπτεσθαί με ἢ βαδίζειν ὑπενόησεν, ἀορασίᾳ δὲ εἴχετο μὴ εὑρίσκων τὴν οἰκίαν· οὐ γὰρ ἐπίστευεν οἴκοι με διωκόμενον μένειν. Καὶ μόλις μετὰ τὴν τετάρτην ἡμέραν κελεύσαντός μοι μεταστῆναι τοῦ Θεοῦ καὶ παραδόξως ὁδοποιήσαντος, ἐγώ τε καὶ οἱ παῖδες καὶ πολλοὶ τῶν ἀδελφῶν ἅμα συνεξήλθομεν. Καὶ ὅτι τῆς τοῦ Θεοῦ προνοίας ἔργον ἐκεῖνο γέγονε, τὰ ἑξῆς ἐδήλωσεν, ἐν οἷς τάχα τισὶ γεγόναμεν χρήσιμοι.

Εἶτά τινα μεταξὺ εἰπὼν τὰ μετὰ τὴν φυγὴν αὐτῷ συμβεβηκότα δηλοῖ, ταῦτ' ἐπιφέρων·

Ἐγὼ μὲν γὰρ περὶ ἡλίου δυσμὰς ἅμα τοῖς σὺν ἐμοὶ γενόμενος ὑπὸ τοῖς στρατιώταις

---

1) Fata sua exponit Dionysius, cui calumnias ipsi moverat per Germanum, propter fugam in persecutione Deciana; contra eundem in alia epistola se defendit Eus. VII, 11. quam paulo infra legere licet.

2) Post Valeriani persecutionem scripsit Dionysius hunc libellum ad Germanum, quod docent fragmenta ejusdem operis VII, 11.

3) Alexandriae Proconsul.

4) Φρουμεντάριος miles est ad investigandos reos missus; idem quod curiosus.

εἰς Ταποσίριν [5]) ἤχθην. Ὁ δὲ Τιμόθεος κατὰ τὴν τοῦ Θεοῦ πρόνοιαν ἔτυχε μὴ παρών, μηδὲ καταληφθείς. Ἐλθὼν δὲ ὕστερον εὗρε τὸν οἶκον ἔρημον καὶ φρουροῦντας αὐτὸν ὑπηρέτας, ἡμᾶς δὲ ἐξηνδραποδισμένους.

Καὶ μεθ᾽ ἕτερά φησιν.

Καί τις ὁ τῆς θαυμασίας οἰκονομίας αὐτοῦ τρόπος, τὰ γὰρ ἀληθῆ λεχθήσεται. Ἀπήντα τις τῶν χωριτῶν ὑποφεύγοντι τῷ Τιμοθέῳ καὶ τεταραγμένῳ καὶ τὴν αἰτίαν τῆς ἐπείξεως ἐπύθετο. Ὁ δὲ τἀληθὲς ἐξεῖπεν. Κἀκεῖνος ἀκούσας (ἀπῄει δὲ εὐωχησόμενος γάμους· διαπαννυχίζειν γὰρ αὐτοῖς ἐν ταῖς τοιαύταις συνόδοις ἔθος) εἰσελθὼν ἀπήγγειλε τοῖς κατακειμένοις, οἱ ὁρμῇ μιᾷ καθάπερ ἀπὸ συνθήματος πάντες ἐξανέστησαν· καὶ δρόμῳ φερόμενοι τάχιστα ἧκον, ἐπεισπεσόντες τε ἡμῖν, ἠλάλαξαν. Καὶ φυγῆς εὐθέως τῶν φρουρούντων ἡμᾶς στρατιωτῶν γενομένης, ἐπέστησαν ἡμῖν ὡς εἰχόμεν, ἐπὶ τῶν ἀστρώτων σκιμπόδων κατακείμενοι. Κἀγὼ μὲν, οἶδεν ὁ Θεός, ὡς λῃστὰς εἶναι πρότερον ἡγούμενος ἐπὶ σύλησιν καὶ ἁρπαγὴν ἀφικομένους, μένων ἐπὶ τῆς εὐνῆς, ἧς ἤμην γυμνὸς ἐν τῷ λινῷ ἐσθήματι· τὴν δὲ λοιπὴν ἐσθῆτα παρακειμένην αὐτοῖς ὤρεγον. Οἱ δὲ ἐξανίστασθαί τε ἐκέλευον καὶ τὴν ταχίστην ἐξιέναι, καὶ τότε συνεὶς ἐφ᾽ ᾧ παρῆσαν, ἀνέκραγον δεόμενος αὐτῶν καὶ ἱκετεύων ἀπιέναι καὶ ἡμᾶς ἐᾶν· εἰ δὲ βούλονταί τι χρηστὸν ἐργάσασθαι

5) Oppidulum prope Alexandriam.

τοὺς ἀπάγοντάς με φθάσαι καὶ τὴν κεφαλὴν αὐτοὺς τὴν ἐμὴν ἀποτεμεῖν ἠξίουν. Καὶ τοιαῦτα βοῶντος, ὡς ἴσασιν οἱ κοινωνοί μου καὶ μέτοχοι πάντων γενόμενοι, ἀνίσταντα πρὸς βίαν, κἀγὼ μὲν παρῆκα ἐμαυτὸν ὕπτιον εἰς τοὔδαφος. Οἱ δὲ, διαλαβόντες χειρῶν καὶ ποδῶν, σύροντες ἐξήγαγον. Ἐπηκολούθουν δέ μοι οἱ τούτων πάντων γενόμενοι μάρτυρες. Γάϊος, Φαῦστος, Πέτρος, Παῦλος· οἱ καὶ ὑπολαβόντες με, φοράδην ἐξήγαγον τοῦ πολιχνίου, καὶ ὄνῳ γυμνῷ ἐπιβιβάσαντες ἀπήγαγον [6]).

XVII.

DE FATIS DIONYSII ET SOCIORUM IN PERSECUTIONE DECIANA.

(Ex epist. Dionysii Alexandrini ad Dometium et Didymum Eus. VII, 11. in exilio scripta.) 1)

Τοὺς δὲ ἡμετέρους πολλούς τε ὄντας καὶ ἀγνῶτας ὑμῖν, περισσὸν ὀνομαστὶ καταλέγειν· πλὴν ἴστε ὅτι ἄνδρες καὶ γυναῖκες, καὶ νέοι, καὶ γέ-

---

6) Quid praeterea passus sit Dionysius cum sociis, paulo infra legitur in epistola Dionysii ad Dometium et Didymum.

1) Eusebius perperam hanc epistolam exhibet ubi de Valeriano agit; scripta est epistola in exilio, ut ipsa docet, in quod missus erat Dionysius regnante Decio; cf. VI, 40. quae cum his bene cohaerent.

ροντες, καὶ κόραι, καὶ πρεσβύτιδες, καὶ στρατιῶται, καὶ ἰδιῶται, καὶ πᾶν γένος, καὶ πᾶσα ἡλικία· οἱ μὲν διὰ μαστίγων καὶ πυρὸς, οἱ δὲ διὰ σιδήρου τὸν ἀγῶνα νικήσαντες, τοὺς στεφάνους ἀπειλήφασι· τοῖς δὲ οὐ πάμπολυς αὐτάρκης ἀπέβη χρόνος, εἰς τὸ φανῆναι δεκτοὺς τῷ κυρίῳ· ὥσπερ οὖν ἔοικε μηδ' ἐμοὶ ὁ μέχρι νῦν. Διόπερ εἰς ὃν οἶδεν αὐτὸς ἐπιτήδειον καιρὸν ὑπερέθετό με, ὁ λέγων· καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι. Τὰ γὰρ καθ' ἡμᾶς ἐπειδὴ πυνθάνεσθε καὶ βούλεσθε δηλωθῆναι ὑμῖν ὅπως διάγομεν, ἠκούσατε μὲν πάντως ὅπως ἡμᾶς δεσμώτας ἀπαγομένους ὑπὸ ἑκατοντάρχου, καὶ στρατηγῶν [2]), καὶ τῶν σὺν αὐτοῖς στρατιωτῶν καὶ ὑπηρετῶν, ἐμέ τε καὶ Γάϊον, καὶ Φαῦστον, καὶ Πέτρον, καὶ Παῦλον [3]) ἐπελθόντες τινὲς τῶν Μαρεωτῶν, ἄκοντας καὶ μηδὲ ἑπομένους, βίᾳ τε σύροντες ἀφήρπασαν. Ἐγὼ δὲ νῦν καὶ Γάϊος καὶ Πέτρος, μόνοι τῶν ἄλλων ἀδελφῶν ἀπορφανισθέντες, ἐν ἐρήμῳ καὶ αὐχμηρῷ τῆς Λιβύης τόπῳ κατακεκλείσμεθα, τριῶν ἡμερῶν ὁδὸν τοῦ Παραιτονίου [4]) διεστηκότες.

Καὶ ὑποκαταβάς φησιν.

Ἐν δὲ τῇ πόλει καταδεδύκασιν ἀφανῶς ἐπισκεπτόμενοι τοὺς ἀδελφοὺς πρεσβύτεροι μὲν,

Μάξι-

2) στρατηγοί non duces sunt hoc loco, sed duumviri, magistratus civitatis Alexandrinae.

3) Eosdem VI, 40. in epist. ad Germanum socios appellavit.

4) Marmaricae urbs praecipua.

Μάξιμος, Διόσκορος, Δημήτριος, καὶ Λούκιος· οἱ γὰρ ἐν τῷ κόσμῳ προφανέστεροι Φαυστῖνος καὶ Ἀκύλας, ἐν Αἰγύπτῳ πλανῶνται. Διάκονοι δὲ οἱ μετὰ τοὺς ἐν τῇ νόσῳ τελευτήσαντας ὑπολειφθέντες, Φαῦστος, Εὐσέβιος, Χαιρήμων· Εὐσέβιος ὃν ἐξ ἀρχῆς ὁ Θεὸς ἐνεδυνάμωσεν καὶ παρεσκεύασε τὰς ὑπηρεσίας τῶν ἐν ταῖς φυλακαῖς γενομένων ὁμολογητῶν ἐναγωνίως ἀποπληροῦν, καὶ τὰς τῶν σωμάτων περιστολὰς τῶν τελείων καὶ μακαρίων μαρτύρων οὐκ ἀκινδύνως ἐκτελεῖν. Καὶ γὰρ μέχρι νῦν οὐκ ἀνίησιν ὁ ἡγούμενος, τοὺς μὲν ἀναιρῶν, ὡς προεῖπον, ὠμῶς τῶν προςαγομένων· τοὺς δὲ βασάνοις καταξαίνων, τοὺς δὲ φυλακαῖς καὶ δεσμοῖς ἐκτήκων· προςτάσσων δὲ μηδένα τούτοις προςιέναι καὶ ἀνερευνῶν μή τις φανείη. Καὶ ὅμως ὁ Θεὸς τῇ προθυμίᾳ καὶ λιπαρίᾳ τῶν ἀδελφῶν διαναπαύει τοὺς πεπιεσμένους.

XVIII.

DE DIONYSII ALEXANDRINI ALIORUMQUE VEXATIONIBUS REGNANTE VALERIANO.

(Ex Dionysii Alex. epist. ad Germanum ap. Eus. H. E. VII, 11.)

Ejusdem quidem epistolae fragmentum hoc esse videtur, cujus sunt quae VI, 40. in Eusebio leguntur ex epistola Dionysii

ad Germanum; sed perperam censet Valesius hoc fragmentum conjungendum esse cum illo; nostrum enim de persecutione Valeriana agit, illud de Deciana; quod ostendunt socii diversi atque Aemilianus, qui non nisi Valeriano regnante Alexandriae praefuit. Ne vero temporis ordo turbetur hic fragmentum hoc collocare malui, quam priori fragmento adjungere, etsi ejusdem operis partes esse videantur.

Εἰς ἀφροσύνην δὲ κινδυνεύω πολλὴν καὶ ἀναισθησίαν ὄντως ἐμπεσεῖν, εἰς ἀνάγκην συμβιβαζόμενος τοῦ διηγεῖσθαι τὴν θαυμαστὴν περὶ ἡμᾶς οἰκονομίαν τοῦ Θεοῦ. Ἀλλ' ἐπεὶ μυστήριον βασιλέως κρύπτειν καλόν φησι, τὰ δὲ ἔργα Θεοῦ ἀνακηρύττειν ἔνδοξον, ὁμόσε χωρήσω τῇ Γερμανοῦ βίᾳ. Ἧκον πρὸς Αἰμιλιανόν, οὐ μόνος, ἠκολούθησαν δέ μοι συμπρεσβύτερός τέ μου Μάξιμος καὶ διάκονοι Φαῦστος καὶ Εὐσέβιος [1]) καὶ Χαιρήμων, καί τις τῶν ἀπὸ Ῥώμης παρόντων ἀδελφῶν ἡμῖν συνεισῆλθεν. Αἰμιλιανὸς δὲ οὐκ εἶπέ μοι προηγουμένως, μὴ σύναγε· περιττὸν γὰρ τοῦτο ἦν αὐτῷ καὶ τὸ τελευταῖον ἐπὶ τὸ πρῶτον ἀνατρέχοντι. Οὐ γὰρ περὶ τοῦ μὴ συνάγειν ἑτέρους ὁ λόγος ἦν αὐτῷ· ἀλλὰ περὶ τοῦ μηδ' αὐ-

1) In fine hujus cap. addit Eusebius Maximum postea episcopum Alexandriae creatum esse, Eusebium episcopum Laodiceae Syriae.

τοὺς ἡμᾶς εἶναι χριστιανούς· καὶ τοῦτο προσέταττεν ἀποπαύσασθαι, εἰ μεταβαλοίμην ἔγωγε καὶ τοὺς ἄλλους ἕψεσθαί μοι νομίζων. Ἀπεκρινάμην δὲ οὐκ ἀπεοικότως, οὐδὲ μακρὰν τοῦ πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. Ἀλλ' ἄντικρυς διεμαρτυράμην, ὅτι τὸν Θεὸν τὸν ὄντα μόνον καὶ οὐδένα ἕτερον σέβων οὐδ' ἂν μεταθείμην οὐδὲ παυσαίμην ποτὲ χριστιανὸς ὤν. Ἐπὶ τούτοις ἐκέλευσεν ἡμᾶς ἀπελθεῖν εἰς κώμην πλησίον τῆς ἐρήμου καλουμένην Κεφρώ. Αὐτῶν δὲ ἐπακούσατε τῶν ὑπ' ἀμφοτέρων λεχθέντων ὡς ὑπεμνηματίσθη [2]). Εἰσαχθέντων Διονυσίου καὶ Φαύστου καὶ Μαξίμου καὶ Μαρκέλλου καὶ Χαιρήμονος, Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν εἶπε· καὶ ἀγράφως ὑμῖν διελέχθην περὶ τῆς φιλανθρωπίας τῶν κυρίων ἡμῶν, ἣν περὶ ὑμᾶς κέχρηνται. Δεδώκασι γὰρ ἐξουσίαν ὑμῖν σωτηρίας, εἰ βούλοισθε ἐπὶ τὸ κατὰ φύσιν τρέπεσθαι καὶ Θεοὺς τοὺς σώζοντας αὐτῶν τὴν βασιλείαν προσκυνεῖν, ἐπιλαθέσθαι τε τῶν παρὰ φύσιν. Τί οὖν φατὲ πρὸς ταῦτα; οὐδὲ γὰρ ἀχαρίστους ὑμᾶς ἔσεσθαι περὶ τὴν φιλανθρωπίαν αὐτῶν προσδοκῶ, ἐπειδήπερ ἐπὶ τὰ βελτίω ὑμᾶς προτρέπονται. Διονύσιος ἀπεκρίνατο· οὐ πάντες πάντας προσκυνοῦσι Θεούς, ἀλλ' ἕκαστοί τινας οὓς νομίζουσιν. Ἡμεῖς τοίνυν τὸν ἕνα Θεὸν καὶ δημιουργὸν τῶν ἁπάντων, τὸν καὶ τὴν βασιλείαν ἐγχειρίσαντα τοῖς θεοφιλεστάτοις Οὐαλεριανῷ καὶ Γαλλιηνῷ

2) ὑπομνήματα dicuntur quae Latinis audiunt acta, unde ὑπομνηματίζειν in acta referre.

Σεβαστοῖς· τοῦτον καὶ σέβομεν καὶ προσκυνοῦμεν· καὶ τούτῳ διηνεκῶς ὑπὲρ τῆς βασιλείας αὐτῶν, ὅπως ἀσάλευτος διαμένῃ, προσευχόμεθα. Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπε· τίς γὰρ ὑμᾶς κωλύει καὶ τοῦτον, εἴπερ ἐστὶ Θεὸς, μετὰ τῶν κατὰ φύσιν Θεῶν προσκυνεῖν; Θεοὺς γὰρ σέβειν ἐκελεύσθητε, καὶ Θεοὺς οὓς πάντες ἴσασι. Διονύσιος ἀπεκρίνατο· ἡμεῖς οὐδένα ἕτερον προσκυνοῦμεν. Αἰμιλιανὸς διέπων τὴν ἡγεμονίαν αὐτοῖς εἶπεν· ὁρῶ ὑμᾶς ὁμοῦ καὶ ἀχαρίστους ὄντας καὶ ἀναισθήτους τῆς πραότητος τῶν Σεβαστῶν ἡμῶν. Διόπερ οὐκ ἔσεσθε ἐν τῇ πόλει ταύτῃ, ἀλλὰ ἀποσταλήσεσθε εἰς τὰ μέρη τῆς Λιβύης καὶ ἐν τόπῳ λεγομένῳ Κεφρώ· τοῦτον γὰρ τὸν τόπον ἐξελεξάμην ἐκ τῆς κελεύσεως τῶν Σεβαστῶν ἡμῶν; οὐδαμῶς δὲ ἐξέσται οὔτε ὑμῖν οὔτε ἄλλοις τισὶν, ἢ συνόδους ποιεῖσθαι, ἢ εἰς τὰ καλούμενα κοιμητήρια εἰσιέναι. Εἰ δέ τις φανείη μὴ γενόμενος εἰς τὸν τόπον τοῦτον ὃν ἐκέλευσα, ἢ ἐν συναγωγῇ τινὶ εὑρεθείη, ἑαυτῷ τὸν κίνδυνον ἀπαρτήσει· οὐ γὰρ ἐπιλείψει ἡ δέουσα ἐπιστρέφεια. Ἀπόστητε οὖν ὅπου ἐκελεύσθητε. Καὶ νοσοῦντα δέ με κατήπειξεν, οὐδεμιᾶς ὑπέρθεσιν δοὺς ἡμέρας. Ποίαν οὖν ἔτι τοῦ συνάγειν ἢ μὴ συνάγειν εἶχον σχολήν [3]);

---

3) Accusabatur enim a Germano, quod conventus fratrum non habuisset ante exortam persecutionem, sed fuga saluti suae prospexisset. Ante persecutiones ingruentes conventus vero habere solebant, ut populum exhortarentur ad fidem retinendam.

Εἶτα μεθ' ἕτερά φησιν.

Ἀλλ' οὐδὲ τῆς αἰσθητῆς ἡμεῖς μετὰ τοῦ κυρίου συναγωγῆς ἀπέστημεν· ἀλλὰ τοὺς μὲν ἐν τῇ πόλει σπουδαιότερον συνεκρότουν, ὡς συνών· ἀπὼν μὲν τῷ σώματι, ὡς εἶπεν, παρὼν δὲ τῷ πνεύματι. Ἐν δὲ τῇ Κεφροῖ καὶ πολλὴ συνεπεδήμησεν ἡμῖν ἐκκλησία. τῶν μὲν ἀπὸ τῆς πόλεως ἀδελφῶν ἑπομένων· τῶν δὲ συνιόντων ἀπ' Αἰγύπτου. Κἀκεῖ θύραν ἡμῖν ὁ Θεὸς ἀνέῳξε τοῦ λόγου. Καὶ τὸ μὲν πρῶτον ἐδιώχθημεν, ἐλιθοβολήθημεν· ὕστερον δὲ τινὲς οὐκ ὀλίγοι τῶν ἐθνῶν, τὰ εἴδωλα καταλιπόντες, ἐπέστρεψαν ἐπὶ τὸν Θεόν. Οὐ πρότερον γὰρ παραδεξαμένοις αὐτοῖς, τότε πρῶτον δι' ἡμῶν ὁ λόγος ἐπεσπάρη, καὶ ὥσπερ τούτου ἕνεκεν ἀπαγαγὼν ἡμᾶς πρὸς αὐτοὺς ὁ Θεός, ἐπεὶ τὴν διακονίαν ταύτην ἐπληρώσαμεν, πάλιν ἀπήγαγεν. Ὁ γὰρ Αἰμιλιανὸς εἰς τραχυτέρους μὲν, ὡς ἐδόκει, καὶ λιβυκωτέρους ἡμᾶς μεταστῆσαι τόπους ἐβουλήθη, καὶ τοὺς πανταχόσε εἰς τὸν Μαρεώτην ἐκέλευσε συῤῥεῖν κώμας ἑκάστοις τῶν κατὰ χώραν ἀφορίσας: ἡμᾶς δὲ μᾶλλον ἐν ὁδῷ καὶ πρώτους καταληφθησομένους ἔταξεν. Ὠκονόμει γὰρ δηλονότι καὶ παρεσκεύαζεν, ἵνα ὁπόταν βουληθείη συλλαβεῖν, πάντας εὐαλώτους ἔχοι. Ἐγὼ δὲ ὅτε μὲν εἰς Κεφρὼ κεκελεύσμην ἀπελθεῖν, καὶ τὸν τόπον ἠγνόουν ὅποι ποτὲ οὗτός ἐστιν, οὐδὲ τὸ ὄνομα σχεδὸν πρότερον ἀκηκοώς, καὶ ὅμως εὐθύμως καὶ ἀταράχως ἀπῄειν. Ἐπεὶ δὲ μετασκηνώσειν εἰς τὰ Κολλουθίωνος 4) ἀπηγγέλη μοι, ἴσασιν οἱ

4) Urbs mareoticae Praefecturae.

παρόντες ὅπως διετέθην. Ἐνταῦθα γὰρ ἐμαυτοῦ κατηγορήσω. Τὸ μὲν πρῶτον ἤχθέσθην καὶ λίαν ἐχαλέπηνα· καὶ γὰρ εἰ γνωριμώτεροι καὶ συνηθέστεροι ἐτύγχανον ἡμῖν οἱ τόποι, ἀλλ' ἔρημον μὲν ἀδελφῶν καὶ σπουδαίων ἀνθρώπων ἔφασκον εἶναι τὸ χωρίον, ταῖς δὲ τῶν ὁδοιπορούντων ἐνοχλήσεσι καὶ λῃστῶν καταδρομαῖς ἐγκείμενον. Ἔτυχον δὲ παραμυθίας, ὑπομιμνησκόντων με τῶν ἀδελφῶν, ὅτι γειτνιᾷ μᾶλλον τῇ πόλει. Καὶ ἡ μὲν Κεφρὼν πολλὴν ἡμῖν ἦγεν ἀδελφῶν τῶν ἀπ' Αἰγύπτου τὴν ἐπιμιξίαν, ὡς πλατύτερον ἐκκλησιάζειν δύνασθαι· ἐκεῖ δὲ πλησιαίτερον οὔσης τῆς πόλεως, συνεχέστερον τῆς τῶν ὄντως ἀγαπητῶν καὶ οἰκειοτάτων καὶ φιλτάτων ὄψεως ἀπολαύσομεν. Ἀφίξονται γὰρ καὶ ἀναπαύσονται καὶ ὡς ἐν προαστείοις [5]) πορρωτέρω κειμένοις κατὰ μέρος ἔσονται συναγωγαί. Καὶ οὕτως ἐγένετο.

Καὶ μεθ' ἕτερα περὶ τῶν συμβεβηκότων αὐτῷ αὖθις ταῦτα γράφει.

Πολλαῖς γε ταῖς ὁμολογίαις Γερμανὸς σεμνύνεται. Πολλά γε εἰπεῖν ἔχει καθ' ἑαυτοῦ γενόμενα [6]). Ὅσας ἀριθμῆσαι δύναται περὶ ἡμῶν ἀποφάσεις, δημεύσεις, προγραφάς, ὑπαρχόντων ἁρπαγάς, ἀξιωμάτων ἀποθέσεις, δόξης κοσμικῆς ὀλιγωρίας, ἐπαίνων ἡγεμονικῶν καὶ βουλευτ-

---

5) προαστεῖα dicuntur non solum suburbia, quae urbi conjuncta sunt, sed quoque vici remotiores, quorum incolae, cum ad ecclesiam urbis pervenire non bene poterant, suos habebant conventus.

6) Ironice haec omnia dicit Dionysius.

κῶν καταφρονήσεως καὶ τῶν ἐναντίων ἀπειλῶν, καὶ καταβοήσεων, καὶ κινδύνων, καὶ διωγμῶν, καὶ πλάνης, καὶ στενοχωρίας, καὶ ποικίλης θλίψεως ὑπομονήν, οἷα τὰ ἐπὶ Δεκίου καὶ Σαβίνου συμβάντα μοι, οἷα μέχρι νῦν Αἰμιλιανοῦ. Ποῦ δὲ Γερμανὸς ἐφάνη, τίς δὲ περὶ αὐτοῦ λόγος; ἀλλὰ τῆς πολλῆς ἀφροσύνης εἰς ἣν ἐμπίπτω διὰ Γερμανόν, ὑφίεμαι· διὸ καὶ τὴν καθ' ἕκαστον τῶν γενομένων διήγησιν, παρίημι τοῖς εἰδόσιν ἀδελφοῖς λέγειν.

XIX.

DE PERSECUTIONE VALERIANI.

(Ex epist. Dionysii Alexandrini ad Hermammonem apud Eus. H. E. VII, 10.)

Καὶ τῷ Ἰωάννῃ δὲ ὁμοίως ἀποκαλύπτεται· Καὶ ἐδόθη γὰρ αὐτῷ, φησί, στόμα λαλοῦν μεγάλα καὶ βλασφημίαν· καὶ ἐδόθη αὐτῷ ἐξουσία καὶ μῆνες τεσσαράκοντα δύο [1]. Ἀμφότερα δὲ ἐστιν ἐπὶ Οὐαλεριανοῦ θαυμάσαι· καὶ τούτων μάλιστα τὰ πρὸ αὐτοῦ, ὡς οὕτως ἔσχε, συννοεῖν, ὡς ἤπιος καὶ φιλόφρων ἦν πρὸς τοὺς ἀνθρώπους τοῦ Θεοῦ. Οὐδὲ γὰρ ἄλλος τις οὕτω τῶν πρὸ αὐτοῦ βασιλέων εὐμενῶς καὶ δεξιῶς

---

1) Significatur tempus persecutionis Valeriani, quae erat per triennium et quod excurrit. Respicit Dionysius Apoc. 13, 5.

πρὸς αὐτοὺς διετέθη· οὐδ' οἱ λεχθέντες ἀναφανδὸν Χριστιανοὶ γεγονέναι [2]), ὡς ἐκεῖνος οἰκειότατα ἐν ἀρχῇ καὶ προσφιλέστατα φανερῶς ἦν αὐτοὺς ἀποδεξάμενος. Καὶ πᾶς ὁ οἶκος αὐτοῦ θεοσεβῶν πεπλήρωτο, καὶ ἦν ἐκκλησία Θεοῦ. Ἀποσκευάσασθαι δὲ παρέπεισεν αὐτὸν ὁ διδάσκαλος καὶ τῶν ἀπ' Αἰγύπτου μάγων ἀρχισυνάγωγος [3]), τοὺς μὲν καθαροὺς ἄνδρας καὶ ὁσίους κτίννυσθαι καὶ διώκεσθαι κελεύων, ὡς ἀντιπάλους καὶ κωλυτὰς τῶν παμμιάρων καὶ βδελυκτῶν ἐπαοιδῶν ὑπάρχοντας. Καὶ γάρ εἰσι καὶ ἦσαν ἱκανοὶ παρόντες καὶ ὁρώμενοι, καὶ μόνον ἐμπνέοντες καὶ φθεγγόμενοι, διασκεδάσαι τὰς τῶν ἀλιτηρίων δαιμόνων ἐπιβουλάς, τελετὰς δὲ ἀνάγνους, καὶ μαγγανείας ἐξαγίστους, καὶ ἱερουργίας ἀκαλλιερήτους ἐπιτελεῖν ὑποτιθέμενος, παῖδας ἀθλίους ἀποσφάττειν, καὶ τέκνα δυστήνων πατέρων καταθύειν καὶ σπλάγχνα νεογενῆ διαιρεῖν, καὶ τὰ τοῦ Θεοῦ διακόπτειν, καὶ καταχορδεύειν πλάσματα, ὡς ἐκ τούτων εὐδαιμονήσαντα.

Καὶ τούτοις ἐπιφέρει λέγων.

Καλὰ γοῦν αὐτοῖς [4]) Μακριανὸς τῆς ἐλπιζομένης βασιλείας προσήνεγκε χαριστήρια· ὃς πρότερον μὲν ἐπὶ τῶν καθόλου λόγων [5]) λεγόμενος

2) Philippum et Alexandrum Severum intelligit.

3) Macrianum significat, quem per irrisionem μάγων ἀρχισυνάγωγον h. e. fraudum atque malarum artium peritissimum et facile primum dicit.

4) Scil. daemonibus.

5) ὁ ἐπὶ τῶν καθόλου λόγων seu καθολικός graece dicitur: Rationalis seu procurator summae rei. Ludit Eusebius voce καθολικός, ut paulo infra nomine Macriani ὃς μακρὰν ἄπεστι ἀπὸ τῆς ἑαυτοῦ πατρίας.

εἶναι βασιλέως, οὐδὲν εὔλογον οὐδὲ καθολικὸν ἐφρόνησεν· ἀλλ᾽ ὑποπέπτωκεν ἀρᾷ προφητικῇ τῇ λεγούσῃ· οὐαὶ τοῖς προφητεύουσιν ἀπὸ καρδίας αὐτῶν· καὶ τὸ καθόλου μὴ βλέπουσιν. Οὐ γὰρ συνῆκε τὴν καθόλου πρόνοιαν, οὐδὲ τὴν κρίσιν ὑπείδετο τοῦ πρὸ πάντων καὶ διὰ πάντων καὶ ἐπὶ πᾶσι. Διὸ καὶ τῆς μὲν καθολικῆς αὐτοῦ ἐκκλησίας γέγονε πολέμιος· ἠλλοτρίωσε δὲ καὶ ἀπεξένωσεν ἑαυτὸν τοῦ ἐλέους τοῦ Θεοῦ, καὶ ὡς πορρωτάτω τῆς ἑαυτοῦ σωτηρίας ἐφυγάδευσεν· ἐν τούτῳ τὸ ἴδιον ἐπαληθεύων ὄνομα.

Καὶ πάλιν μεθ᾽ ἕτερά φησιν.

Ὁ μὲν γὰρ Οὐαλεριανὸς εἰς ταῦτα ὑπὸ τούτου προαχθεὶς, εἰς ὕβρεις καὶ ὀνειδισμοὺς ἐκδοθεὶς κατὰ τὸ ῥηθὲν πρὸς Ἡσαΐαν· καὶ οὗτοι ἐξελέξαντο τὰς ὁδοὺς αὐτῶν καὶ τὰ βδελύγματα αὐτῶν, ἃ ἡ ψυχὴ αὐτῶν ἠθέλησε· καὶ ἐγὼ ἐκλέξομαι τὰ ἐμπαίγματα αὐτῶν καὶ τὰς ἁμαρτίας ἀνταποδώσω αὐτοῖς. Οὗτος δὲ τῇ βασιλείᾳ παρὰ τὴν ἀξίαν ἐπιμανεὶς, καὶ τὸν βασίλειον ὑποδῦναι κόσμον ἀδυνατῶν ἀναπήρῳ τῷ σώματι [6], τοὺς δύο παῖδας τὰς πατρῴας ἀναδεξαμένους ἁμαρτίας, προεστήσατο. Ἐναργὴς γὰρ ἐπὶ τούτων ἡ πρόῤῥησις, ἣν εἶπεν ὁ Θεός, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με. Τὰς γὰρ ἰδίας πονηρὰς ἐπιθυμίας ὧν ἠτύχει, ταῖς τῶν υἱέων κεφαλαῖς ἐπιβαλὼν, εἰς ἐκείνους τὴν ἑαυτοῦ κακίαν καὶ τὸ πρὸς τὸν Θεὸν μῖσος ἐξωμόρξατο.

---

6) Claudus enim erat.

(Eus. H. E. VII, 23.) Ἐκεῖνος[7]) μὲν οὖν τῶν ἑαυτοῦ βασιλέως τὸν μὲν προέμενος, τῷ δὲ ἐπιθέμενος, πανγενῆ ταχέως καὶ πρόρριζος ἐξηφανίσθη· ἀνεδείχθη δὲ καὶ συνωμολογήθη παρὰ πάντων ὁ Γαλλιηνός, παλαιὸς ἅμα βασιλεὺς καὶ νέος· πρῶτος ὢν καὶ μετ' ἐκείνους παρών. Κατὰ γὰρ τὸ ῥηθὲν πρὸς τὸν προφήτην Ἡσαΐαν τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινὰ ἃ νῦν ἀνατελεῖ. Ὥσπερ γὰρ νέφος τὰς ἡλιακὰς ἀκτῖνας ὑποδραμὸν καὶ πρὸς ὀλίγον ἐπηλυγάσαν, ἐσκίασεν αὐτὸν καὶ ἀντ' αὐτοῦ προεφάνη· εἶτα παρελθόντος ἢ διατακέντος τοῦ νέφους, ἐξεφάνη πάλιν ἐπανατείλας ὁ ἥλιος ὁ προανατείλας· οὕτω προστὰς καὶ προσπελάσας ἑαυτὸν ὁ Μακριανὸς τῆς ἐφεστώσης Γαλλιηνοῦ βασιλείας, ὁ μὲν οὐκ ἔστιν, ἐπεὶ μηδὲ ἦν· ὁ δὲ ἔστιν, ὁμοίως ὥσπερ ἦν. Καὶ οἷον ἀποθεμένη τὸ γῆρας ἡ βασιλεία, καὶ τὴν προοῦσαν ἀνακαθηραμένη κακίαν, ἀκμαιότερον νῦν ἐπανθεῖ καὶ πορρώτερον ὁρᾶται καὶ ἀκούεται καὶ διαφοιτᾷ πανταχοῦ.

Εἶθ' ἑξῆς καὶ τὸν χρόνον, καθ' ὃν ταῦτ' ἔγραφε, διὰ τούτων σημαίνει·

Καί μοι πάλιν τὰς ἡμέρας τῶν βασιλικῶν ἐτῶν ἔπεισι σκοπεῖν. Ὁρῶ γὰρ ὡς ὀνομασθέντες μὲν οἱ ἀσεβέστατοι μετ' οὐ πολὺ γεγόνασιν ἀνώνυμοι· ὁ δὲ ὁσιώτερος καὶ φιλοθεώτερος ὑπερβὰς τὴν ἑπταετηρίδα, νῦν ἐνιαυτὸν ἔνατον διανύει, ἐν ᾧ ἡμεῖς ἑορτάσωμεν.

---

7) Bene vidit Valesius haec cum praecedentibus arctissime cohaerere; ἐκεῖνος enim Macrianum significat.

XX.

DE EDICTO VALERIANI CONTRA CHRISTIANOS.

(*Epist. Cypriani* LXXXII.)

Cum jam instare vexationem rumor nuntiasset, Cyprianus Romam misit qui accuratius rem investigarent. Hi quid retulerint Successo scribit, ipsis rescripti Imperatoris verbis, ut videtur, utens.

Cyprianus Successo fratri salutem.

Ut non vobis in continenti scriberem, frater carissime, illa res fecit, quod universi clerici sub ictu agonis constituti, recedere istinc omnino non poterant, parati omnes pro animi sui devotione ad divinam et coelestem gloriam. Sciatis autem eos venisse, quos ad urbem propter hoc miseram, ut quomodocunque de nobis rescriptum fuisset, exploratam sibi veritatem ad nos referrent. Multa enim varia et incerta opinionibus ventilantur; quae autem sunt in vero, ita se habent. Rescripsisse Valerianum ad senatum: ut Episcopi, presbyteri et diacones in continenti animadvertantur; Senatores vero et viri egregii et equites Romani, dignitate omissa, etiam bonis spolientur et si ademtis facultatibus Christiani esse perseveraverint, capite quoque multentur; matronae ademtis bonis in exilium re-

legentur; Caesariani, quicunque vel prius confessi fuerant, vel nunc confessi fuerint, confiscentur, et vincti in Caesarianas possessiones descripti mittantur. Subjecit etiam Valerianus imperator orationi [1]) suae exemplum literarum, quas ad praesides provinciarum de nobis fecit; quas literas quotidie speramus venire, stantes secundum fidei firmitatem ad passionis tolerantiam et exspectantes de ope et indulgentia domini, vitae aeternae coronam. Xystum [2]) autem in coemeterio animadversum sciatis, octavo iduum Augustarum die et cum eodem Quartum. Sed et huic persecutioni quotidie insistunt Praefecti in urbe [3]); ut si qui sibi oblati fuerint animadvertantur, et bona eorum fisco vindicentur. Haec peto per vos et collegis nostris innotescant, ut ubique hortatu eorum possit fraternitas corroborari et ad agonem spiritalem praeparari: ut singuli ex nostris, non magis mortem cogitent quam immortalitatem, et plena fide ac tota virtute Domino dicata, gaudeant magis quam timeant in hac confessione, in qua sciunt Dei et Christi milites non perimi sed coronari. Opto te, frater carissime, semper bene valere.

---

1) Oratio idem est hoc loco quod rescriptum: ut saepius.

2) Romae episcopus; passus est in area ubi cum plebe Christianorum ad cultum solennem convenerat.

3) Omnes omnium ordinum magistratus intelligit.

XXI.

DE FATIS CYPRIANI, REGNANTE VALERIANO.

(*Epist. Cypr.* LXXXIII. *edit. Steph. Baluzii.*)

Ultima haec est Cypriani epistola et paucis ante martyrium diebus exarata.

Cyprianus presbyteris et diaconibus et plebi universae S.

Cum perlatum ad nos fuisset, fratres carissimi, Frumentarios [1]) esse missos, qui me Uticam perducerent et consilio carissimorum persuasum esset, ut de hortis nostris interim secederemus, justa interveniente causa, consensi; eo quod congruat episcopum in ea civitate, in qua ecclesiae dominicae praeest, illic Dominum confiteri, et plebem universam praepositi praesentis confessione clarificari. Quodcumque enim sub illo confessionis momento confessor episcopus loquitur, aspirante Deo ore omnium loquitur. Ceterum mutilabitur honor ecclesiae nostrae tam gloriosae, si ego episcopus alterius ecclesiae praepositus, accepta apud Uticam super confessione sententia, exinde martyr ad Dominum proficiscar; quandoquidem ego, et pro me et pro vobis

---

1) Milites ad reos conquirendos missi, ut etiam in epist. Dionysii Alexandrini Eus. H. E. VI. 40.

apud vos confiteri, et ibi pati, et exinde ad Dominum proficisci, orationibus continuis deprecer et omnibus votis exoptem et debeam. Exspectamus ergo hic in secessu abdito constituti, adventum proconsulis Carthaginem redeuntis; audituri ab eo quid imperatores super Christianorum laicorum et episcoporum nomine mandaverint et dicturi quod ad horam Dominus dici voluerit. Vos autem, fratres carissimi, pro disciplina, quam de mandatis dominicis a me semper accepistis et secundum quod me tractante saepissime didicistis, *quietem et tranquillitatem tenete*: ne quisquam vestrum aliquem tumultum de fratribus moveat aut ultro se gentilibus offerat: apprehensus enim et traditus loqui debet; si quidem in nobis Dominus positus illa hora loquatur, qui nos confiteri magis voluit, quam profiteri. Quid autem de cetero nos observare conveniat, antequam in me super confessione nominis Dei Proconsul sententiam ferat, instruente Domino, in commune disponemus.

Incolumes vos, fratres carissimi, Dominus noster in ecclesia sua permanere faciat et conservare dignetur.

XXII.

VITA ET PASSIO CYPRIANI.

Scripsit vitam hanc et passionem Cypriani Pontius, ex ejus diaconis, non ita multo post martyrium. Haec Pontii enarratio vitae beati Cypriani est antiquissima inter vitas patrum, quae aetatem tulerunt atque digna quae legatur.

Reperitur vita Cypriani per Pontium Diaconum scripta tam in editionibus operum Cypriani, quam in Th. Ruinarti actis primorum martyrum sinceris p. 198. sqq.

I. Cyprianus, religiosus antistes ac testis Dei gloriosus, tametsi multa conscripsit, per quae memoria digni nominis supervivat; etsi eloquentiae ejus ac Dei gratiae larga foecunditas ita se copia et ubertate sermonis extendit, ut usque in finem mundi fortasse non taceat: tamen quia operibus ejus ac meritis etiam haec praerogativa debetur, ut exemplum suum in litteras digeratur, placuit summatim pauca conscribere: non quod aliquem vel gentilium lateat tanti viri vita, sed ut ad posteros quoque nostros, incomparabile et grande documentum in immortalem memoriam porrigatur. Certe durum erat, ut, cum

majores nostri, plebejis et catechumenis martyrium consecutis, tantum honoris pro martyrii ipsius veneratione dederint, ut de passionibus eorum multa, aut prope dixerim, paene cuncta conscripserint, ut ad nostram quoque notitiam, qui nondum nati fuimus perveniret; Cypriani tanti sacerdotis et tanti martyris passio praeteriretur, qui et sine martyrio habuit quae doceret; et quae, dum vixit gesserit, non paterent. Quae quidem tanta, atque tam magna et mira sunt, ut magnitudinis contemplatione deterrear, ac imparem me esse confitear ad proferendum digne pro meritorum honore sermonem, nec posse sic prosequi facta tam grandia, ut quanta sunt, tanta videantur: nisi quod numerositas gloriarum sibimet ipsa sufficiens, alieno praeconio non eget. Accedit ad cumulum, quod et vos de eo multum, aut, si fieri potest, totum desideratis audire, concupiscentes ardore flagranti vel facta ejus cognoscere, etsi interim viva verba tacuerunt. In qua parte si dixero nos opibus facundiae defici, minus dico. (Facundia enim ipsa deficit digna facultate, quae desiderium vestrum pleno spiritu satiet. Ita utrimque graviter urgemur; si quidem ille nos virtutibus suis onerat, vos nos precibus fatigatis.

II. Unde igitur incipiam? unde exordium bonorum ejus aggrediar, nisi a principio fidei, et nativitate coelesti? Si quidem hominis Dei

facta

facta non debent aliunde numerari, nisi ex quo Deo ejus est. Fuerint licet studia, et bonis eum devotum pectus imbuerint; tamen illa praeterea. Nondum enim ad utilitatem nisi saeculi pertinebant. Postquam et sacras litteras didicit, et mundi nube discussa, in lucem sapientiae spiritalis emersit, si quibus ejus interfui, si qua de antiquioribus ejus operibus comperi, dicam; hanc tamen petens veniam, ut quidquid minus dixero, (minus enim dicam necesse est) ignorantiae meae potius, quam illius gloriae derogetur. Inter fidei suae prima rudimenta nihil aliud credidit Deo dignum, quam si continentiam tueretur. Tunc enim posse idoneum fieri pectus et sensum ad plenam veri capacitatem pervenire, si concupiscentiam carnis robusto atque integro sanctimoniae vigore calcaret. Quis umquam tanti miraculi meminit? Nondum secunda nativitas novum hominem splendore toto divinae lucis oculaverat, et jam veteres ac pristinas tenebras sola lucis paratura vincebat. Deinde quod majus est, cum de lectione divina quaedam jam non pro conditione novitatis, sed pro fidei festinatione didicisset; statim rapuit quod invenit promerendo Deo profuturum. Distractis rebus suis ad indigentiam pauperum sustentandam, tota praedia pretio dispensans duo bona simul junxit, ut et ambitionem saeculi sperneret, qua perniciosius nihil est; et misericordiam, quam

Deus etiam sacrificiis suis praetulit, quam nec ille qui legis omnia mandata servasse se dixerat, fecit, impleret et praepropera velocitate pietatis, paene ante coepit perfectus esse quam disceret. Quis oro de veteribus hoc fecit? quis de antiquissimis in fide senibus, quorum mentes et aures per plurimos annos divina verba pulsaverant, tale aliquid impendit, quale adhuc rudis fidei homo, et cui nondum forsitan crederetur, super grossus vetustatis aetatem, gloriosis et admirandis operibus perpetravit? Nemo metit statim ut sevit: nemo vindemiam de novellis scrobibus expressit: nemo adhuc umquam de noviter plantatis arbusculis matura poma quaesivit. In illo omnia incredibilia cucurrerunt. Praevenit, si potest dici (res enim fidem non capit) praevenit inquam, tritura sementem, vindemia palmitem, poma radicem.

III. Ajunt Apostoli literae, debere neophytos praeteriri, ne stupore gentilitatis nondum fundatis sensibus adhaerente, aliquid in Deum novitas inerudita peccaret. Ille fuit primus, et, puto, solus exemplo plus fide posse, quam tempore promoveri. Sed etsi in Apostolorum actis Eunuchus ille describitur, quia toto corde crediderat, a Philippo statim tinctus; non est similis comparatio. Ille enim et Judaeus erat, et de templo Domini veniens, prophetam legebat Isaiam, et sperabat in Christo, etsi nondum eum venisse cre-

didicerat; hic de imperitis gentibus veniens tam maturam coepit fidem, quantam pauci fortasse perfecerint. Mora denique circa Dei gratiam nulla, nulla dilatio. Parum dixi, presbyterium et sacerdotium statim accepit. Quis enim non omnes honorum gradus crederet tali mente credenti? Multa sunt, quae adhuc plebejus, multa quae jam presbyter fecit, multa quae ad veterum exempla justorum imitatione consimili prosecutus, promerendo Dominum totius religionis obsequio praestitit. Nam et sermo illi de hoc fuerat imitatus, ut si quem praedicatum Dei laudatione legisset, suaderet inquiri propter quae facta Deo placuisset. Si Job Dei testimonio gloriosus, dictus est verus Dei cultor, et cui in terris nemo compararetur: faciendum docebat ille, quidquid Job ante fecisset: ut dum et nos paria facimus, simile in nos Dei testimonium provocemus. Contemptus ille dispendiis rei familiaris, in tantum exercitata virtute profecit, ut nec pietatis temporalia damna sentiret. Non illum penuria, non dolor fregit, non uxoris suadela deflexit, non proprii corporis dira poena concussit. Permansit in suis sedibus fixa virtus, et altis radicibus fundata devotio; nullo diaboli tentantis impetu cessit, quo minus Deum suum fide grata, etiam inter adversa, benediceret. Domus ejus patuit cuicunque venienti. Nulla vidua reversa est sinu vacuo; nullus indigens lumine, non illo comite directus est;

nullus debilis gressu, non illo bajulo vectus est: nullus nudus auxilio de potentioris manu, non illo tutore protectus est. Haec debent facere, dicebat, qui Deo placere desiderant. Et sic per bonorum omnium documenta percurrens, dum meliores semper imitatur, etiam ipse se fecit imitandum.

IV. Erat sane illi etiam de nobis contubernium viri justi et laudabilis memoriae Caecilii [1]), et aetate tunc et honore presbyteri, qui eum ad agnitionem verae divinitatis a saeculari errore correxerat. Hunc toto honore atque omni observantia diligebat, obsequenti veneratione suspiciens, non jam ut amicum animae coaequalem, sed tamquam novae vitae parentem. Denique ille demulsus ejus obsequiis, in tantum dilectionis immensae merito provocatus est, ut de saeculo excedens, arcessitione jam proxima commendaret illi conjugem ac liberos suos, ut quem fecerat de sectae communione participem, postmodum faceret pietatis heredem.

V. Longum est ire per singula: cuncta ejus facta onerosum est enumerare. Ad probationem bonorum operum solum hoc arbitror satis esse, quod judicio Dei et plebis favore, ad officium sacerdotii et episcopatus gradum adhuc neophytus, et, ut putabatur,

1) Abs quo Cyprianum nomen Caecilius in baptismate sortitum esse narrat Hieronymus de vir. ill.

novellus electus est. Quamvis in primis fidei nostrae adhuc diebus, et rudi vitae spiritalis aetate, sic generosa indoles reluceret, ut etsi nondum officii, spei tamen fulgore resplendens, imminentis sacerdotii totam fiduciam polliceretur. Non praeteribo etiam illud eximium, quemadmodum, cum in dilectionem ejus et honorem totus populus adspirante Domino prosiliret, humiliter ille secessit, antiquioribus cedens, et indignum se titulo tanti honoris existimans, ut dignus magis fieret. Magis enim dignus efficitur, qui quod meretur, excusat. Quo tunc ardore plebs aestuans fluctuabat, spiritali desiderio concupiscens, ut exitus docuit, non tantum Episcopum; in eo enim quem tunc latenti divinitatis praesagio taliter flagitabat, non solummodo sacerdotem, sed et futurum etiam martyrem requirebat. Obsederat fores domus copiosa fraternitas, et per omnes aditus sollicita caritas circuibat. Potuisset fortasse tunc illi Apostolicum illud evenire, quod voluit, ut per fenestram deponeretur; si cum Apostolo etiam ordinationis honore similaretur. Erat videre ceteros omnes suspenso et anxio spiritu expectare venturum, cum gaudio nimio excipere venientem. Invitus dico, sed dicam necesse est. Quidam illi restiterunt [2]), etiam ut vinceret; quibus tamen quanta lenitate, quam patienter, quam

2) Felicissimus et schismatici qui eum [illegible]

benevolenter indulsit, quam clementer ignovit, amicissimos eos postmodum, et inter necessarios computans, mirantibus multis. Cui enim posset non esse miraculo, tam memoriosae mentis oblivio?

IV. Exinde quemadmodum se gesserit, quis referre sufficiat? quae illi pietas? qui vigor? misericordia quanta? quanta censura? Tantum sanctitatis et gratiae ex ore ejus lucebat, ut confunderet intuentium mentes. Gravis vultus et laetus; nec severitas tristis, nec comitas nimia; sed ad mixta utrimque temperies, ut esset ambigere, vereri plus, an diligi mereretur; nisi quod et vereri et diligi merebatur. Sed nec cultus fuit dispar a vultu, temperatus et ipse de medio. Non illum superbia saecularis inflaverat, nec tamen prorsus affectata penuria sordidarat: quia et hoc vestitus genus a jactantia minus non est, quam ostentata taliter ambitiosa frugalitas. Quid autem circa pauperes episcopus faceret, quos catechumenus diligebat? Viderint pietatis antistites, seu quos ad officium boni operis instruxit ipsius ordinis disciplina, seu quos sacramenti religio communis ad obsequium exhibendae dilectionis artavit. Cyprianum de suo talem accepit cathedra, non fecit.

VII. Statim denique pro talibus meritis etiam proscriptionis gloriam consecutus est. Nec enim aliud oportebat, quam ut eum, qui intra secretam conscientiae latebram religionis

et fidei toto honore florebat, etiam publice celebrem gentilium fama titularet. Potuisset quidem tunc pro velocitate qua semper omnia consecutus est, etiam martyrii circa eum debita corona properare; maxime cum et suffragiis saepe repetitis ad leonem postularetur: nisi per omnes ordines gloriarum transeundum illi esset, et sic ad summa veniendum, et nisi imminentis ruina ope tam foecundi pectoris indigeret. Finge enim, tunc illum martyrii dignatione translatum. Quis emolumentum gratiae per fidem proficientis ostenderet? Quis virgines ad congruentem pudicitiae disciplinam et habitum sanctimonia dignum, velut frenis quibusdam lectionis dominicae coerceret? Quis doceret poenitentiam lapsos, veritatem haereticos, schismaticos unitatem, filios Dei pacem, et evangelicae precis legem? Per quem gentiles blasphemi repercussis in se iis quae nobis ingerunt, vincerentur? A quo Christiani mollioris affectus circa amissionem suorum, aut, quod magis est, fidei parvioris consolarentur spe futurorum? Unde sic misericordiam, unde patientiam disceremus? Quis livorem de venenata invidiae malignitate venientem, dulcedine remedii salutaris inhiberet? Quis martyres tantos exhortatione divini sermonis erigeret? Quis denique tot confessores, frontium notatarum secunda inscriptione signatos, et ad exemplum martyrii superstites reservatos, incentivo tubae caelestis animaret?

Bene, bene tunc, et vere spiritaliter contigit, quod vir necessarius, tam multis et tam bonis rebus, a martyrii consummatione dilatus est. Vultis scire secessum illum non fuisse formidinem? ut nihil aliud excusem, ipse postmodum passus est, quam passionem utique et more vitaret, si et ante vitasset. Fuit vere formido illa, sed justa: formido, quae Dominum timeret offendere: formido, quae praeceptis Dei mallet obsequi, quam sic coronari. Dicata enim in omnibus Deo mens, et sic divinis admonitionibus mancipata, credidit se nisi Domino latebram tunc jubenti paruisset, etiam ipsa passione peccare.

VIII. Puto denique etiam nunc aliqua de dilationis utilitate disserenda, tametsi jam dudum pauca perstrinximus. Per haec enim, quae videntur postmodum subsecuta, ut sequitur probemus, secessum illum non hominis pusillanimitate conceptum, sed, sicuti est, vere fuisse divinum. Vastaverat Dei populum persecutionis infestae insolens atque acerba grassatio: et quia omnes decipere una fraude non poterat artifex hostis, quacumque miles incautus prodiderat latus nudum, dispari genere saeviendi, singulos diversa strage dejecerat. Debebat esse qui posset saucios homines, et varia expugnantis inimici arte jaculatos, adhibita medicinae caelestis medela pro qualitate vulneris, vel secare interim, vel fovere. Servatus est vir ingenii, praeter cetera

etiam spiritaliter temperati, qui inter resultantes collidentium schismatum fluctus, ecclesiae iter medium, librato limite gubernaret. Nonne haec, oro, consilia divina sunt? Hoc fieri sine Deo potuit? Viderint qui putant posse fortuito ista contingere. Ecclesia illis clara voce respondet; dicens: Ego sine Dei nutu necessarios reservari non admitto, non credo.

IX. Percurramus tamen cetera, si videtur. Erupit postmodum lues dira, detestabilis morbi vastitas nimia, innumeros per diem populos a sua quemque sede abrupto impetu rapiens, continuatas per ordinem domos vulgi trementis invasit. Horrere omnes, fugere, vitare contagium, exponere suos impie; quasi cum illo peste morituro etiam mortem ipsam aliquid posset excludere. Jacebant interim in tota civitate, non jam corpora, sed cadavera plurimorum, et misericordiam in se transeuntium contemplatione sortis mutuae flagitabant. Nemo respexit aliud praeter quam lucra crudelia. Nemo similis eventus recordatione trepidavit: nemo fecit alteri, quod pati voluit. Quid inter haec egerit Christi et Dei pontifex, qui Pontifices mundi hujus tanto plus pietate, quanto religionis veritate praecesserat, scelus est praeterire. Aggregatam primo in loco uno plebem de misericordiae bonis instituit, docens divinae lectionis exemplis, quantum ad promerendum Deum prosint officia pietatis. Tunc

deinde subjungit non esse mirabile, si nostros tantum debito caritatis obsequio foveremus: eum perfectum posse fieri qui plus aliquid publicano vel ethnico fecerit: qui malum bono vincens, et divinae clementiae instar exercens, inimicos quoque dilexerit: qui pro persequentium se salute, sicuti Dominus monet et hortatur, oraverit. Oriri Deus facit jugiter solem suum, et pluvias subinde nutriendis seminibus impertit, exhibens cuncta ista non suis tantum, sed etiam alienis; et qui se Dei etiam filium esse profitetur, cur non exemplum patris imitatur? Respondere, inquit, nos decet natalibus nostris, et quos renatos per Deum constat, degeneres esse non congruit; sed probari potius in sobole traducem boni patris aemulatione bonitatis.

Praeposui graecam hujus edicti versionem, quae integram legem insignem nobis exhibet; neque tamen omittendum esse censui latinum ejusdem exemplar in Lact. obvium, licet titulus desit.

Inter cetera quae pro reipublicae semper commodis atque utilitate disponimus, nos quidem volueramus antehac juxta leges veteres et publicam disciplinam Romanorum cuncta corrigere, atque id providere, ut etiam Christiani, qui parentum suorum reliquerant sectam, ad bonas mentes redirent. Si quidem quadam ratione tanta eosdem Christianos voluntas invasisset et tanta stultitia occupasset, ut non illa veterum instituta sequerentur, quae forsitan primi parentes eorundem constituerant, sed pro arbitrio suo atque ut hisdem erat libitum, ita sibimet leges facerent quas observarent, et per diversa varios populos congregarent. Denique cum ejusmodi nostra jussio extitisset, ut ad veterum se instituta conferrent, multi periculo subjugati,

multi

multi etiam deturbati sunt; atque cum plurimi in proposito perseverarent, ac videremus nec diis eosdem cultum ac religionem debitam exhibere, nec Christianorum Deum observare, contemplationem mitissimae nostrae clementiae intuentes et consuetudinem sempiternam, qua solemus cunctis hominibus veniam indulgere, promptissimam in his quoque indulgentiam nostram credidimus porrigendam, ut denuo sint Christiani, et conventicula sua componant, ita ut ne quid contra disciplinam agant. Alia autem epistola judicibus significaturi sumus quid debeant observare. Unde juxta hanc indulgentiam nostram debebunt Deum suum orare pro salute nostra et reipublicae ac sua, ut undique versum respublica perstet incolumis, et securi vivere in sedibus suis possint.

XXIX.

DE VEXATIONIBUS ET PERSECUTIONIBUS MAXIMINI.

(*Euseb. H. E.* IX, 1 — 7.)

Lex illa Galerii pacem Christianis reddiderat; sed Maximinus, ex Galerii successoribus in Oriente, Christianorum hostis acerri-

[illegible]; Christianos denuo vexare coepit. Quibus artibus tyrannus contra Christianos usus sit, accurate Eusebius nobis narravit.

I. Τὰ μὲν δὴ τῆς παλινῳδίας τοῦ προτεθέντος βασιλικοῦ νεύματος ἐφηπλοῦτο τῆς Ἀσίας πάντῃ καὶ πανταχοῦ, κατὰ τὰς ἀμφὶ ταύτην ἐπαρχίας· οὗ τοῦτον ἐκτελεσθέντος τὸν τρόπον, Μαξιμῖνος ὁ ἐπὶ ἀνατολῆς τύραννος, δυσσεβέστατος εἰ καί τις ἄλλος, καὶ τῆς εἰς τὸν τῶν ὅλων Θεὸν εὐσεβείας πολεμιώτατος γεγονώς, οὐδαμῶς τοῖς γραφεῖσιν ἀρεσθείς, ἀντὶ τοῦ προτεθέντος γράμματος λόγῳ προστάττει τοῖς ὑπ' αὐτὸν ἄρχουσι τὸν καθ' ἡμᾶς ἀνεῖναι πόλεμον. Ἐπεὶ γὰρ αὐτῷ μὴ ἐξῆν ἄλλως τῇ τῶν κρειττόνων ἀντιλέγειν κρίσει, τὸν προεκτεθέντα νόμον ἐν παραβύστῳ θείς, καὶ ὅπως ἐν τῷ κατ' αὐτὸν μέρει μὴ εἰς προὖπτον ἀχθείη φροντίσας, ἀγράφῳ προστάγματι τοῖς ὑπ' αὐτὸν ἄρχουσι τὸν καθ' ἡμῶν διωγμὸν ἀνεῖναι προστάττει· οἱ δὲ τὸ τῆς παρακελεύσεως ἀλλήλοις διὰ γραφῆς ὑποσημαίνουσιν. Ὁ γοῦν παρ' αὐτοῖς τῷ τῶν ἐξοχωτάτων ἐπάρχων ἀξιώματι τετιμημένος Σαβῖνος [1]) πρὸς τοὺς καθ' ἔθνος ἡγουμένους τὴν βασιλέως ἐμφαίνει γνώμην διὰ Ῥωμαϊκῆς ἐπιστολῆς· ἧς καὶ αὐτῆς ἡ ἑρμηνεία τοῦτον περιέχει τὸν τρόπον.

1) Praefectus Praetorio erat Sabinus.

λιπαρωτάτῃ καὶ καθωσιωμένῃ σπουδῇ ἡ θειότης τῶν δεσποτῶν ἡμῶν θειοτάτων αὐτοκρατόρων, πάντων τῶν ἀνθρώπων τὰς διανοίας πρὸς τὴν ὁσίαν καὶ ὀρθὴν τοῦ ζῆν ὁδὸν περιαγαγεῖν ἔκπαλαι ὥρισεν, ὅπως καὶ οἱ ἀλλοτρίᾳ Ῥωμαίων συνηθείᾳ ἀκολουθεῖν δοκοῦντες, τὰς ὀφειλομένας θρησκείας τοῖς ἀθανάτοις θεοῖς ἐπιτελοῖεν. Ἀλλ' ἡ τινῶν ἔνστασις καὶ τραχυτάτη βουλὴ εἰς τοσοῦτον περιέστη, ὡς μήτε λογισμῷ δικαίῳ τῆς κελεύσεως δύνασθαι ἐκ τῆς ἰδίας προθέσεως ἀναχωρεῖν, μήτε τὴν ἐπικειμένην τιμωρίαν αὐτοὺς ἐκφοβεῖν. Ἐπειδὴ τοίνυν συνέβαινεν ἐκ τοῦ τοιούτου τρόπου πολλοὺς εἰς κίνδυνον ἑαυτοὺς περιβάλλειν, κατὰ τὴν προσοῦσαν εὐγένειαν τῆς εὐσεβείας ἡ θειότης τῶν δεσποτῶν ἡμῶν τῶν δυνατωτάτων αὐτοκρατόρων, ἀλλότριον εἶναι τῆς προθέσεως τῆς θειοτάτης τῆς ἰδίας δοκιμάζουσα τὸ ἐκ τῆς τοιαύτης αἰτίας εἰς τοσοῦτον κίνδυνον τοὺς ἀνθρώπους περιβάλλειν· ἐκέλευσε διὰ τῆς ἐμῆς καθοσιώσεως τῇ σῇ ἀγχινοίᾳ διαχαράξαι, ἵν' εἴ τις τῶν Χριστιανῶν τοῦ ἰδίου ἔθνους τὴν θρησκείαν μετιὼν εὑρεθείη, τῆς κατ' αὐτοῦ ἐνοχλήσεως καὶ τοῦ κινδύνου αὐτὸν ἀποστήσειας, καὶ μή τινα ἐκ ταύτης τῆς προφάσεως τιμωρίᾳ κολαστέον νομίσειας, ὁπότε τῇ τοσούτου χρόνου συνελεύσει συνέστη, αὐτοὺς μηδενὶ τρόπῳ πεπεῖσθαι δεδυνῆσθαι, ὅπως ἀπὸ τῶν τοιούτων ἐνστάσεων ἀναχωρήσαιεν. Ἐγγράψαι τοιγαροῦν πρὸς τοὺς λο-~~γιστὰς καὶ τοὺς στρατηγοὺς~~ καὶ τοὺς πραιποσίτους τοῦ πάγου ἑκάστης πόλεως ἡ σὴ ἐπιστρέ-

φιᾳ ὤφειλε, ἵνα γνῶσι περαιτέρω αὐτοῖς τούτου τοῦ γράμματος φροντίδα ποιεῖσθαι μὴ προσήκειν. Ἐπὶ τούτοις οἱ κατ᾽ ἐπαρχίαν, ταύτην τῶν γραφέντων αὐτοῖς ἐπαληθεύειν προαίρεσιν νενομικότες, λογισταῖς, καὶ στρατηγοῖς, καὶ τοῖς κατ᾽ ἀγροὺς ἐπιτεταγμένοις, τὴν βασιλικὴν διὰ γραμμάτων ἐμφανῆ καθιστῶσι γνώμην.

Οὐ μόνον δ᾽ αὐτοῖς διὰ γραφῆς ταῦτα προὐχώρει, καὶ ἔργοις δὲ πολὺ πρότερον, ὡς ἂν νεῦμα βασιλικὸν εἰς πέρας ἄγοντες, οὓς εἶχον ἐν δεσμωτηρίοις καθειργμένους διὰ τὴν εἰς τὸ θεῖον ὁμολογίαν, εἰς φανερὸν προάγοντες ἠλευθέρουν, ἀνιέντες τούτων δὴ αὐτῶν τοὺς ἐν μετάλλοις ἐπὶ τιμωρίᾳ διδομένους· τοῦτο γὰρ ἐπ᾽ ἀληθείας βασιλεῖ δοκεῖν ὑπειλήφασιν ἠπατημένοι. Καὶ δὴ τούτων οὕτως ἐπιτελεσθέντων, ἀθρόως οἷόν τι φῶς ἐκ ζοφερᾶς νυκτὸς ἐκλάμψαν, κατὰ πᾶσαν πόλιν συγκροτουμένας παρῆν ὁρᾶν ἐκκλησίας, συνόδους τε παμπληθεῖς, καὶ τὰς ἐπὶ τούτων ἐξ ἔθους ἐπιτελουμένας συναγωγάς. Καταπέπληκτο δ᾽ ἐπὶ τούτοις οὐ σμικρῶς πᾶς τις τῶν ἀπίστων ἐθνῶν, τῆς τοσαύτης μεταβολῆς τὸ παράδοξον ἀποθαυμάζων, μέγαν τε καὶ μόνον ἀληθῆ τὸν Χριστιανῶν Θεὸν ἐπιβοώμενος. Τῶν δ᾽ ἡμετέρων, οἱ μὲν τὸν τῶν διωγμῶν ἀγῶνα πιστῶς καὶ ἀνδρείως διηθληκότες, τὴν πρὸς ἅπαντας αὖθις ἀπελάμβανον παῤῥησίαν· ὅσοι δὲ τὰ τῆς πίστεως νενοσηκότες, τὰς ψυχὰς ἐτύγχανον κεχειμασμένοι, ἄσμενοι περὶ τὴν σφῶν θεραπείαν ἔσπευδον, ἀντιβολοῦντες καὶ σωτηρίας δεξιὰν τοὺς ἐῤῥωμένους αἰτούμενοι, τόν τε Θεὸν ἵλεων αὐτοῖς

[illegible]

[illegible] τὴν πόλιν. [illegible]

Η[illegible] τοῦτον [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible] ὅπως γεγονώς [illegible]

[illegible] ἀπολλύουσι [illegible]

[illegible] ἱδρύει, [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

κρατοῦντος, [illegible]

[illegible] Θεὸς δὴ [illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible] ἄρχοντας τε καὶ ἀρχομένους [illegible]

2) De falsis his actis loquitur Euseb. H. E. I. 9. Ostendit ibi, conficta esse acta satis perspici posse ex tempore nati [illegible]

[illegible] ἀρχοντας [illegible]

[illegible] πάσας ἐπαρχίας [illegible]

[illegible] Ἀντιοχείας παροικίας πρεσβύτερος [illegible]

[illegible]

[illegible] Τοσαῦτα [illegible] βραχέα [illegible]

[illegible]

VII. Ἀλλὰ [illegible] πόλεις [illegible]

[illegible] ψηφίσματα [illegible] πρὸς ταῦτα διατάξεων ἀντιγραφ[illegible] χαλκαῖς ἀνωρθοῦντο [illegible] διδασκαλεῖα. Ἰησοῦ [illegible] ὑπομνή[illegible] πᾶσαν [illegible] ἡμέραν [illegible] φαίνεται [illegible] Μαξιμίνου [illegible]

[illegible]

[illegible] ἀντιγραφή [illegible]

[illegible]

[illegible]

[illegible] βῶν, ὅσοι τῶν ἀθλίων ἀνθρώπων τὰς αἰσθήσεις [illegible] πρᾶγμα ἄπιστόν ἐστιν εἰπεῖν, [illegible] ὅπως [illegible] εἰς μέγιστον [illegible] [illegible] οἷς [illegible] ἀλλὰ [illegible] ἀθανάτου [illegible] ὥσπερ [illegible]

[illegible] ὑμᾶς [illegible]
[illegible]
[illegible] ὁ [illegible]
μένος [illegible] λαμπροτάτης ὑμῶν πόλεως [illegible]
[illegible] καὶ γυναῖκας καὶ τέκνα
καὶ [illegible] καὶ [illegible]
[illegible] ψυχαῖς [illegible]
[illegible] βουλόμενοι [illegible]
[illegible] καὶ [illegible]
[illegible]
[illegible]
[illegible] γὰρ αὐτὸς [illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible]
[illegible] γεγονέναι οὐδεὶς ἀγνοεῖ. [illegible]
[illegible]

[illegible] ψυχαῖς [illegible] ἐπιχύναις [illegible]

Ταύτοις μὲν [illegible] ἐν τοῖς [illegible] τὰ [illegible] καὶ τοῖς [illegible] καὶ τοὺς [illegible] λαμπομένους, καὶ τὴν τοῦ [illegible] εὔκρατον· καὶ [illegible] ἀποδοθεῖσαν [illegible] διὰ τῆς ὑμετέρας [illegible] καὶ τιμῆς, [illegible] καὶ [illegible] καὶ διὰ τοῦτο τῆς [illegible] μετὰ [illegible] καὶ [illegible] τῆς [illegible] [illegible] καθὼς [illegible] πρόθεσιν [illegible] τοῦ [illegible] τῶν [illegible]

[illegible]

ἃ περὶ τούτου ἀξιώσαντες ὑμῖν, καὶ χωρὶς ψηφισμάτων καὶ χωρὶς δεήσεως αὐθαιρέτῳ βουλήσει ἡ ἡμετέρα προθυμοτάτη φιλαγαθία χαρίζεται, ἐπιτρέπομεν τῇ ὑμετέρᾳ καθοσιώσει, ὁποίαν δ' ἂν βουληθῆτε μεγαλοδωρεὰν ἀντὶ ταύτης ὑμῶν τῆς φιλοθέου προθέσεως αἰτῆσαι. Καὶ ἤδη μὲν τοῦτο ποιεῖν καὶ λαβεῖν ἀξιώσατε· τεύξεσθε γὰρ αὐτῆς χωρίς τινος ὑπερθέσεως· ἥτις παρασχεθεῖσα τῇ ἡμετέρᾳ πόλει, εἰς ἅπαντα τὸν αἰῶνα τῆς περὶ τοὺς ἀθανάτους θεοὺς φιλοθέου εὐσεβείας παρέξει μαρτυρίαν, τοῦ δὲ ὑμᾶς ἀξίων ἐπάθλων τετυχηκέναι παρὰ τῆς ἡμετέρας φιλαγαθίας, ταύτης ὑμῶν ἕνεκεν τῆς τοῦ βίου προαιρέσεως, υἱοῖς τε καὶ ἐκγόνοις ὑμετέροις ἐπιδειχθήσεται.

Ταῦτα δὴ καθ' ἡμῶν κατὰ πᾶσαν ἐπαρχίαν ἀνεστηλίτευτο, πάσης ἐλπίδος, τὸ γοῦν ἐπ' ἀνθρώποις, ἀγαθῆς τὰ καθ' ἡμᾶς ἀποκλείοντα· ὡς κατ' αὐτὸ δὴ τὸ θεῖον ἐκεῖνο λόγιον, εἰ δυνατὸν, ἐπὶ τούτοις καὶ τοὺς ἐκλεκτοὺς αὐτοὺς σκανδαλίζεσθαι. Ἤδη γοῦν σχεδὸν τῆς παρὰ τοῖς πλείστοις ἀποψυχούσης προσδοκίας, ἀθρόως καθ' ὁδὸν ἔτι σχεδὸν τὴν πορείαν ἔν τισι χώραις διανυόντων, τῶν τὴν προκειμένην γραφὴν καθ' ἡμῶν διακονουμένων, ὁ τῆς ἰδίας ἐκκλησίας ὑπέρμαχος Θεὸς, μονονουχὶ τὴν τοῦ τυράννου καθ' ἡμῶν ἐπιστομίζων μεγαλαυχίαν, τὴν ὑπὲρ ἡμῶν οὐράνιον αὐτοῦ συμμαχίαν ἐπεδείκνυτο.

XXX.

MAXIMINI EPISTOLA AD SABINUM.

(*Ex Euseb. H. E. IX, 9.*)

Maxentio victo ad pontem Milvium a. 312. Constantinus et Licinius legem promulgaverunt pro Christianis, quam Maximino transmiserunt. Qua re ille territus has Sabino, praefecto praetorio, misit literas, e lingua latina in graecam transversas, quae Christianos tolerandos esse jubent, vexationesque vetant.

Ἰόβιος Μαξιμῖνος Σεβαστὸς Σαβίνῳ.

Καὶ παρὰ τῇ σῇ στιβαρότητι, καὶ παρὰ πᾶσιν ἀνθρώποις φανερὸν εἶναι πέποιθα, τοὺς δεσπότας ἡμῶν Διοκλητιανὸν καὶ Μαξιμιανόν, τοὺς ἡμετέρους πατέρας, ἡνίκα συνεῖδον σχεδὸν ἅπαντας ἀνθρώπους καταλειφθείσης τῆς τῶν θεῶν θρησκείας, τῷ ἔθνει τῶν χριστιανῶν ἑαυτοὺς συμμεμιχότας, ὀρθῶς διατεταχέναι, πάντας ἀνθρώπους, τοὺς ἀπὸ τῆς τῶν αὐτῶν θεῶν τῶν ἀθανάτων θρησκείας ἀναχωρήσαντας, προδήλῳ κολάσει καὶ τιμωρίᾳ εἰς τὴν θρησκείαν τῶν θεῶν ἀνακληθῆναι. ἀλλ᾽ ὅτε ἐγὼ εὐτυχῶς τὸ πρῶτον εἰς τὴν ἀνατολὴν παρεγενόμην, καὶ ἔγνων εἴς τινας τόπους πλείστους τῶν ἀνθρώπων, τὰ δημόσια ὠφελεῖν δυναμένους, ὑπὸ τῶν δικαστῶν διὰ

τὸν προσκαρτεροῦντα αὐτοῖς ἐξορισθῆναι, ἑκάστῳ τῶν δικαστῶν ἐντολὰς δέδωκα, ὥστε μηδένα τρόπον τοῦ [illegible] ἀλλὰ μᾶλλον κολακείαις καὶ προτροπαῖς πρὸς τὴν τῶν θεῶν θρησκείαν αὐτοὺς ἀνακαλεῖν. Τηνικαῦτα οὖν, ὅτε ἀκολούθως τῇ κελεύσει τῇ ἐμῇ ὑπὸ τῶν δικαστῶν ἐφυλάττετο τὰ προστεταγμένα, συνέβαινε μηδένα ἐκ τῶν τῆς ἀνατολῆς μερῶν, μήτε ἐξόριστον, μήτε ἐνύβριστον γενέσθαι, ἀλλὰ μᾶλλον ἐκ τοῦ μὴ βαρέως κατ' αὐτῶν τι γίνεσθαι, εἰς τὴν τῶν θεῶν θρησκείαν ἀνακεκλῆσθαι. μετὰ δὲ ταῦτα, ὅτε τῷ παρελθόντι ἐνιαυτῷ εὐτυχῶς ἐπέβην εἰς τὴν Νικομήδειαν, κἀκεῖ διέτριβον, παραγενόμενοι πολῖται τῆς αὐτῆς πόλεως πρός με, ἅμα μετὰ τῶν ξοάνων τῶν θεῶν, μεγάλως δεόμενοι, ἵνα παντὶ τρόπῳ τὸ τοιοῦτον ἔθνος μηδαμῶς ἐπιτρέποιτο ἐν τῇ αὐτῶν πατρίδι οἰκεῖν. Ἀλλ' ὅτε ἔγνων πλείστους τῆς αὐτῆς θρησκείας ἄνδρας ἐν αὐτοῖς τοῖς μέρεσιν οἰκεῖν, οὕτως αὐτοῖς τὰς ἀποκρίσεις ἀπένειμα, ὅτι τῇ μὲν αἰτήσει αὐτῶν ἀσμένως χάριν ἔσχηκα, ἀλλ' οὐ παρὰ πάντων τοῦτο ἠξιῶσθαι κατεῖδον· εἰ μὲν οὖν τινες εἶεν τῇ αὐτῇ δεισιδαιμονίᾳ διαμένοντες, οὕτως ἕνα ἕκαστον ἐν τῇ ἰδίᾳ προαιρέσει τὴν βούλησιν ἔχειν, καὶ εἰ βούλοιντο τὴν τῶν θεῶν θρησκείαν ἐπιγινώσκειν. Ὅμως καὶ τοῖς τῆς αὐτῆς πόλεως Νικομηδεῦσι, καὶ ταῖς λοιπαῖς πόλεσιν, αἳ καὶ αὐταὶ εἰς τοσοῦτον τὴν ὁμοίαν αἴτησιν ἐσπουδασμένως πρός με πεποιήκασι, δηλονότι ἵνα μηδεὶς τῶν χριστιανῶν ταῖς πόλεσιν ἐνοικοίη, ἀνάγκην ἔσχον προσφιλῶς ἀποκρί-

κατεῖδον· ὅτι μὲν αὐτοὶ [illegible] προσφέροιντο πάντας διαπαλλάξαι, καὶ [illegible] τοῖς θεοῖς, δι' οὓς πάντες ἄνθρωποι [illegible] τῶν δημοσίων διοίκησις συνίσταται, ἤρεσεν οὖν ἐμοὶ τὴν τοσαύτην αἴτησιν, ἣν ὑπὲρ τῆς θρησκείας τοῦ θείου αὐτῶν ἀναφέρουσι, βεβαιώσαιμι. Τοιγαροῦν εἰ καὶ τὰ μάλιστα καὶ τῇ σῇ καθοσιώσει πρὸ τούτου τοῦ χρόνου διὰ γραμμάτων ἐπέσταλται, καὶ δι' ἐντολῶν ὁμοίως κεκέλευσται, ἵνα μὴ κατὰ τῶν ἐπαρχιωτῶν τῶν τὸ τοιοῦτον ἔθος διαφυλάξαι ἐπιμεληθέντων, μηδὲν τραχέως, ἀλλὰ ἀνεξικάκως καὶ συμμέτρως προσφέροιο αὐτοῖς, ὅμως, ἵνα μήτε ὑπὸ τῶν βενεφικιαλίων, μήτε ὑπ' ἄλλων τινῶν τυχόντων ὕβρεις μήτε σεισμοὺς ὑπομένοιεν, ἀκόλουθον ἐνόμισα, καὶ τούτοις τοῖς γράμμασι τὴν σὴν στιβαρότητα ὑπομνῆσαι, ἵνα ταῖς κολακείαις καὶ ταῖς προτροπαῖς μᾶλλον τὴν τῶν θεῶν ἐπιμέλειαν τοὺς ἡμετέρους ἐπαρχιώτας ποιήσειας ἐπιγινώσκειν. Ὅθεν εἴ τις τῇ αὐτοῦ προαιρέσει τὴν θρησκείαν τῶν θεῶν ἐπιγνωστέον προσλάβοι, τούτους ἐκδέξασθαι προσήκει· εἰ δέ τινες τῇ ἰδίᾳ θρησκείᾳ ἀκολουθεῖν βούλοιντο, ἐν τῇ αὐτῶν ἐξουσίᾳ καταλίποις. Διόπερ ἡ σὴ καθοσίωσις τὸ ἐπιτραπέν σοι διαφυλάττειν ὀφείλει, καὶ μηδενὶ ἐξουσία δοθῇ, ὥστε τοὺς ἡμετέρους ἐπαρχιώτας ὕβρεσι καὶ σεισμοῖς ἐπιτρῖψαι, ὁπότε, ὥσπερ προγέγραπται, ταῖς προτροπαῖς μᾶλλον καὶ ταῖς κολακείαις πρὸς τὴν τῶν θεῶν θρησκείαν τοὺς ἡμετέρους ἐπαρχιώτας προσήκει ἀνακαλεῖν. ἵνα [illegible]

[illegible]

XXXI.

MAXIMINI EDICTUM PRO CHRISTIANIS.

(Ex Euseb. H. E. IX, 10.)

Maximinus anno 313. a Licinio victus, ab exercitu desertus, in regnum refugit; sacerdotes, quorum oraculis permotus bellum susceperat interimi jussit, pro Christianis vero, quorum Deus jam potentissimus ipsi videbatur, edictum hoc promulgavit, e lingua latina in graecam versum. Non multo post legem promulgatam Tarsi hausto veneno periit.

Αὐτοκράτωρ Καῖσαρ Γάϊος Οὐαλέριος Μαξιμῖνος, Γερμανικός, Σαρματικός, Εὐσεβής, Εὐτυχής, Ἀνίκητος, Σεβαστός.

Κατὰ πάντα τρόπον ἡμᾶς διηνεκῶς τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων τοῦ χρησίμου προνοεῖσθαι δεῖ, καὶ ταῦτα αὐτοῖς βούλεσθαι παρέχειν, οἷς τὰ λυσιτελῆ πάντων μάλιστα κατορθοῦται, καὶ

[illegible] καὶ [illegible] χρησιμότητα [illegible] καὶ [illegible] διανοίαις προσφιλὴ τυγχάνει, οὐδένα ἀγνοεῖν ἀλλ' ἕκαστον ἀνατρέχειν ἐπ' αὐτὰ τὸ γινόμενον, [illegible] τε ἕκαστον τῶν ἀνθρώπων καὶ ἔχειν ἐν ἑαυτῷ, δῆλον εἶναι πιστεύομεν. Ὁπότε τοίνυν πρὸ τούτου δῆλον γέγονε τῇ γνώσει τῇ ἡμετέρᾳ, ἐκ ταύτης τῆς προφάσεως, ὡς κεκελευσμένον ἦν ὑπὸ τῶν θειοτάτων Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, τῶν γονέων τῶν ἡμετέρων, τὰς συνόδους τῶν Χριστιανῶν ἐξῃρῆσθαι, πολλοὺς σεισμοὺς καὶ ἀποστερήσεις ὑπὸ τῶν ὀφφικιαλίων γεγενῆσθαι, καὶ εἰς τοὐπιὸν δὲ τοῦτο προχωρεῖν κατὰ τῶν ἐπαρχιωτῶν τῶν ἡμετέρων, ὧν μάλιστα πρόνοιαν τὴν προσήκουσαν γίνεσθαι σπουδάζομεν, τῶν οὐσιῶν τῶν ἰδίων αὐτῶν κατατριβομένων· δοθέντων γραμμάτων πρὸς τοὺς ἡγεμόνας ἑκάστης ἐπαρχίας, τῷ παρελθόντι ἐνιαυτῷ ἐνομοθετήσαμεν· εἴ τις βούλοιτο τῷ τοιούτῳ ἔθει, ἢ τῇ αὐτῇ φυλακῇ τῆς αὐτῆς θρησκείας ἕπεσθαι, τοῦτον ἀνεμποδίστως ἔχεσθαι τῆς προθέσεως τῆς ἑαυτοῦ, καὶ ὑπὸ μηδενὸς ἐμποδίζεσθαι, μηδὲ κωλύεσθαι, καὶ εἶναι αὐτοῖς εὐχέρειαν, ἄνευ τινὸς φόβου καὶ ὑποψίας, τοῦθ' ὅπερ ἑκάστῳ ἀρέσκει ποιεῖν. Πλὴν οὐδὲ νῦν λαθεῖν ἡμᾶς ἐδυνήθη, ὅτι τινὲς τῶν δικαστῶν παρενεθυμοῦντο τὰς ἡμετέρας κελεύσεις, καὶ διστάζειν τοὺς ἡμετέρους ἀνθρώπους περὶ τὰ προστάγματα τὰ ἡμέτερα παρεσκεύασαν, καὶ ὀκνηρότερον προσιέναι ταύταις ταῖς θρησκείαις, αἷς ἦν ἀρεστὸν αὐτοῖς

ἐποιήσαμεν. Ἵνα τοίνυν εἰς τὸ ἑξῆς πᾶσα ὑποψία ἀμφιβολίας τοῦ φόβου περιαιρεθῇ, τοῦτο τὸ διάταγμα προτεθῆναι ἐνομοθετήσαμεν· ἵνα πᾶσι δῆλον γίνηται, ἐξεῖναι τούτοις, οἵτινες ποτὲ τὴν αἵρεσιν καὶ τὴν θρησκείαν μετιέναι βούλονται, ἐκ ταύτης τῆς δωρεᾶς τῆς ἡμετέρας, καθὼς ἕκαστος βούλεται, ἢ δέον αὐτῷ ἐστίν, οὕτως προσιέναι τῇ θρησκείᾳ ταύτῃ, ἣν ἐξ ἔθους θρησκεύειν εἵλετο· καὶ τὰ κυριακὰ δὲ τὰ οἰκεῖα, ὅπως κατασκευάζοιεν, συγχωρεῖται. Ἵνα μέντοι καὶ μείζων γένηται ἡ ἡμετέρα δωρεά, καὶ τοῦτο νομοθετῆσαι κατηξιώσαμεν· ἵν' εἴ τινες οἰκίαι καὶ χωρία τοῦ δικαίου τῶν χριστιανῶν πρὸ τούτου ὑπάρχοντα ὄντα, ἐκ τῆς κελεύσεως τῶν γονέων τῶν ἡμετέρων εἰς τὸ δίκαιον μετέπεσε τοῦ φίσκου, ἢ ὑπό τινος κατελήφθη πόλεως, εἴτε διάπρασις τούτων γεγένηται, εἴτε εἰς χάρισμα δέδοταί τινι, ταῦτα πάντα εἰς τὸ ἀρχαῖον δίκαιον τῶν χριστιανῶν ἐπανακληθῆναι ἐκελεύσαμεν· ἵνα καὶ ἐν τούτῳ τῆς ἡμετέρας εὐσεβείας καὶ τῆς προνοίας αἴσθησιν πάντες λάβωσιν.

XXXII.

CONSTANTINI ET LICINII EDICTUM PRO CHRISTIANIS.

(*Ex Euseb. H. E. X, 5.*)

Primum hoc est inter edicta Constantini pro Christianis, quod ad memoriam nostram pervenit: mentionem in eo facit prioris deperditi, cujus sensum ex hoc secundo satis assequi possumus. Versio haec graeca integra est; exemplar latinum apud Lactantium, quod subjeci, mutilum. Annus edicti est 313.

Ἤδη μὲν πάλαι σκοποῦντες τὴν ἐλευθερίαν τῆς θρησκείας οὐκ ἀρνητέαν εἶναι, ἀλλ' ἑνὸς ἑκάστου τῇ διανοίᾳ καὶ βουλήσει ἐξουσίαν δοτέον τοῦ τὰ θεῖα πράγματα τημελεῖν κατὰ τὴν αὐτοῦ προαίρεσιν, ἕκαστον κεκελεύκειμεν, τοῖς τε Χριστιανοῖς τῆς αἱρέσεως καὶ τῆς θρησκείας τῆς ἑαυτῶν τὴν πίστιν φυλάττειν. Ἀλλ' ἐπειδὴ πολλαὶ καὶ διάφοροι αἱρέσεις ἐν ἐκείνῃ τῇ ἀντιγραφῇ, ἐν ᾗ τοῖς αὐτοῖς συνεχωρήθη ἡ τοιαύτη ἐξουσία, ἐδόκουν προστεθεῖσθαι σαφῶς, τυχὸν ἴσως τινὲς αὐτῶν μετ' ὀλίγον ἀπὸ τῆς τοιαύτης παραφυλάξεως ἀνεκρούοντο· ὁπότε εὐτυχῶς ἐγὼ Κωνσταν-

τῖνος ὁ Αὔγουστος, κἀγὼ Λικίννιος ὁ Αὔγουστος ἐν τῇ Μεδιολάνῳ ἐληλύθειμεν, καὶ πάντα ὅσα πρὸς τὸ λυσιτελὲς καὶ τὸ χρήσιμον τῷ κοινῷ διέφερεν ἐν ζητήσει ἔσχομεν, ταῦτα μεταξὺ τῶν λοιπῶν ἅτινα ἐδόκει ἐν πολλοῖς ἅπασιν ἐπωφελῆ εἶναι, μᾶλλον δὲ ἐν πρώτοις, διατάξαι ἐδογματίσαμεν, οἷς ἡ πρὸς τὸ θεῖον αἰδώς τε καὶ τὸ σέβας ἐνείχετο· τοῦτ' ἔστιν, ὅπως δῶμεν καὶ τοῖς χριστιανοῖς καὶ πᾶσιν ἐλευθέραν αἵρεσιν, τοῦ ἀκολουθεῖν τῇ θρησκείᾳ, ᾗ δ' ἂν βουληθῶσιν· ὅπως ὅ, τί ποτέ ἐστι θειότης καὶ οὐρανίου πράγματος, ἡμῖν καὶ πᾶσι τοῖς ὑπὸ τὴν ἡμετέραν ἐξουσίαν διάγουσιν εὐμενὲς εἶναι δυνηθῇ. Τοίνυν ταύτην τὴν βούλησιν τὴν ἡμετέραν, ὑγιεινῷ καὶ ὀρθοτάτῳ λογισμῷ ἐδογματίσαμεν, ὅπως μηδενὶ παντελῶς ἐξουσία ἀρνητέα ᾖ, τοῦ ἀκολουθεῖν καὶ αἱρεῖσθαι τὴν τῶν χριστιανῶν παραφύλαξιν ἢ θρησκείαν, ἑκάστῳ τε ἐξουσία δοθείη τοῦ διδόναι ἑαυτοῦ τὴν διάνοιαν ἐν ἐκείνῃ τῇ θρησκείᾳ, ἣν αὐτὸς ἑαυτῷ ἁρμόζειν νομίζει· ὅπως ἡμῖν δυνηθῇ τὸ θεῖον ἐν πᾶσι τὴν ἔθιμον σπουδὴν καὶ καλοκἀγαθίαν παρέχειν. Ἅτινα οὕτως ἀρέσκειν ἡμῖν ἀντιγράψαι ἀκόλουθον ἦν, ἵν' ἀφαιρεθεισῶν παντελῶς τῶν αἱρέσεων, αἵτινες τοῖς προτέροις ἡμῶν γράμμασι, τοῖς πρὸς τὴν σὴν καθοσίωσιν ἀποσταλεῖσι περὶ τῶν χριστιανῶν ἐνείχοντο· καὶ ἅτινα πάνυ σκαιὰ καὶ τῆς ἡμετέρας πρᾳότητος ἀλλότρια εἶναι ἐδόκει, ταῦτα ὑφαιρεθῇ, καὶ νῦν ἐλευθέρως τε καὶ ἀπλανῶς ἕκαστος τῶν τὴν αὐτὴν προαίρεσιν ἐσχηκότων

τοῦ φυλάττειν τὴν τῶν Χριστιανῶν θρησκείαν,
ἄνευ τινὸς ὀχλήσεως, τοῦτο αὐτὸ παραφυλάτ-
τειν. Ἅτινα τῇ σῇ ἐπιμελείᾳ πληρέστατα δηλῶ-
σαι ἐδογματίσαμεν, ὅπως εἰδείης ἡμᾶς ἐλευθέ-
ραν καὶ ἀπολελυμένην ἐξουσίαν τοῦ τημελεῖν τὴν
ἑαυτῶν θρησκείαν τοῖς αὐτοῖς Χριστιανοῖς δεδω-
κέναι. Ὅπερ ἐπειδὴ ἀπολελυμένως αὐτοῖς ὑφ'
ἡμῶν δεδωρῆσθαι θεωρεῖ ἡ σὴ καθοσίωσις, καὶ
ἑτέροις δεδόσθαι ἐξουσίαν τοῖς βουλομένοις τοῦ
μετέρχεσθαι τὴν παρατήρησιν καὶ θρησκείαν ἑαυ-
τῶν· ὅπερ ἀκολούθως τῇ ἡσυχίᾳ τῶν ἡμετέρων
καιρῶν γίνεσθαι φανερόν ἐστιν, ὅπως ἐξουσίαν
ἕκαστος ἔχῃ τοῦ αἱρεῖσθαι καὶ τημελεῖν ὁποῖον
δ' ἂν βούληται θεῖον. Τοῦτο δὲ ὑφ' ἡμῶν γέγο-
νεν, ὅπως μηδεμιᾷ τιμῇ, μηδὲ θρησκείᾳ τινὶ
μεμειῶσθαί τι ὑφ' ἡμῶν δοκοίη. Καὶ τοῦτο δὲ
πρὸς τοῖς λοιποῖς εἰς τὸ πρόσωπον τῶν Χριστια-
νῶν δογματίζομεν, ἵνα τοὺς τόπους αὐτῶν, εἰς
οὓς τὸ πρότερον συνέρχεσθαι ἔθος ἦν αὐτοῖς, πε-
ρὶ ὧν καὶ τοῖς πρότερον δοθεῖσι πρὸς τὴν σὴν
καθοσίωσιν γράμμασι, τύπος ἕτερος ἦν ὡρισμέ-
νος τῷ προτέρῳ χρόνῳ, ἵν' εἴ τινες, ἢ παρὰ τοῦ
ταμείου τοῦ ἡμετέρου, ἢ παρά τινος ἑτέρου φαί-
νοιντο ἠγορακότες, τούτους τοῖς αὐτοῖς Χριστια-
νοῖς ἄνευ ἀργυρίου, καὶ ἄνευ τινὸς ἀπαιτήσεως
τῆς τιμῆς ὑπερτεθείσης, δίχα πάσης ἀμελείας
καὶ ἀμφιβολίας ἀποκαταστήσωσι· καὶ εἴ τινες
κατὰ δῶρον τυγχάνωσιν εἰληφότες, τοὺς αὐτοὺς
τόπους ὅπως ἢ τοῖς αὐτοῖς Χριστιανοῖς τὴν
ταχίστην ἀποκαταστήσωσιν, οὕτως ἢ οἱ ἠγορα-

[illegible] ἢ οἱ [illegible] δωρεὰν εἰληφότες, αἰτῶσί τι παρὰ τῆς ἡμετέρας καλοκἀγαθίας, προσελθέτωσαν τῷ ἐπὶ τόπου ἐπάρχῳ δικάζοντι, ὅπως καὶ αὐτῶν διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται. Ἅτινα πάντα τῷ σώματι τῶν χριστιανῶν παρ' αὐτὰ διὰ τῆς σῆς σπουδῆς ἄνευ τινὸς παρολκῆς παραδίδοσθαι δεήσει· καὶ ἐπειδὴ οἱ αὐτοὶ χριστιανοὶ οὐ μόνον ἐκείνους, εἰς οὓς συνέρχεσθαι ἔθος εἶχον, ἀλλὰ καὶ ἑτέρους τόπους ἐσχηκέναι γινώσκονται, διαφέροντας οὐ πρὸς ἕκαστον αὐτῶν, ἀλλὰ πρὸς τὸ δίκαιον τοῦ αὐτῶν σώματος, τοῦτ' ἔστι τῶν χριστιανῶν, ταῦτα πάντα ἐπὶ τῷ νόμῳ ὃν προειρήκαμεν, δίχα παντελοῦς τινος ἀμφισβητήσεως τοῖς αὐτοῖς χριστιανοῖς, τοῦτ' ἔστι τῷ σώματι αὐτῶν καὶ τῇ συνόδῳ, ἑκάστῳ αὐτῶν ἀποκατασταθῆναι κελεύσεις, τοῦ προειρημένου λογισμοῦ δηλαδὴ φυλαχθέντος, ὅπως αὐτοὶ οἵ τινες τοὺς αὐτοὺς ἄνευ τιμῆς, καθὼς προειρήκαμεν, ἀποκαθιστῶσι, τὸ ἀζήμιον τὸ ἑαυτῶν παρὰ τῆς ἡμετέρας καλοκἀγαθίας ἐλπίζοιεν. Ἐν οἷς πᾶσι τῷ προειρημένῳ σώματι τῶν χριστιανῶν τὴν σπουδὴν δυνατώτατα παρασχεῖν ὀφείλεις, ὅπως τὸ ἡμέτερον κέλευσμα τὴν ταχίστην παραπληρωθῇ, ὅπως καὶ ἐν τούτῳ διὰ τῆς ἡμετέρας χρηστότητος πρόνοια γένηται τῆς κοινῆς καὶ δημοσίας ἡσυχίας· τούτῳ γὰρ τῷ λογισμῷ, καθὼς καὶ προείρηται, ἡ θεία σπουδὴ περὶ ἡμᾶς, ἧς ἐν πολλοῖς ἤδη πράγμασιν ἀπεπειράθημεν, διὰ παντὸς τοῦ χρόνου βεβαίως διαμεῖναι. Ἵνα δὲ

ταύτης τῆς ἡμετέρας νομοθεσίας καὶ τῆς καλοκἀγαθίας ὅρος, πρὸς γνῶσιν πάντων ἐκτεθῆναι δυνηθῇ, ταῦτα τὰ ὑφ᾽ ἡμῶν γραφέντα πανταχοῦ προτεθῆναι καὶ εἰς γνῶσιν πάντων ἀγαγεῖν ἀκόλουθόν ἐστιν, ὅπως ταύτης τῆς ἡμετέρας καλοκἀγαθίας ἡ νομοθεσία μηδένα λαθεῖν δυνηθῇ.

XXXIII.

IDEM EDICTUM CONSTANTINI ET LICINII PRO CHRISTIANIS.

(Ex Lactantio de mort. persec. c. 48)

Cum feliciter tam ego Constantinus Augustus, quam etiam ego Licinius Augustus apud Mediolanum convenissemus atque universa quae ad commoda et securitatem publicam pertinerent, in tractatu haberemus, haec inter cetera quae videbamus pluribus hominibus profutura, vel in primis ordinanda esse credidimus, quibus divinitatis reverentia continebatur, ut daremus et Christianis et omnibus liberam potestatem sequendi religionem, quam quisque voluisset, quod quidem divinitas in sede coelesti nobis atque omnibus, qui sub potestate nostra sunt constituti placatum ac propitium possit existere [1]. Itaque hoc consilio salubri ac rectissima ratione ineundum esse credidimus, ut nulli omnino facultatem abnegandam putaremus, qui vel observationi Christianorum, vel ei religioni mentem suam dederet, quam ipse sibi aptissimam esse sentiret, ut possit nobis summa

---

1) Mendum subesse videtur. Legendum est: *placata ac propitia*, vel pro: *divinitas*, scribendum est: *divinum numen*.

divinitas, cujus religioni liberis mentibus obsequimur in omnibus solitum favorem suum benevolentiamque praestare. Quare scire dicationem tuam convenit placuisse nobis, ut amotis omnibus omnino conditionibus, quae prius scriptis, ad officium tuum datis, super Christianorum nomine videbantur, nunc ca vere ac simpliciter unusquisque eorum qui eandem observandae religioni Christianorum gerunt voluntatem, citra ullam inquietudinem ac molestiam sui, id ipsum observare contendant. Quae sollicitudini tuae plenissime significanda credidimus, quo scires nos liberam atque absolutam colendae religionis suae facultatem hisdem Christianis dedisse. Quod cum hisdem a nobis indultum esse pervideas, intelligit dicatio tua etiam aliis religionis suae, vel observantiae potestatem similiter apertam et liberam pro quiete temporis nostri esse concessam, ut in colendo quod quisque diligeret, habeat liberam facultatem *), quae..... honori neque cuiquam religioni aut aliquid a nobis. Atque hoc insuper in persona Christianorum statuendum esse censuimus, quod si eadem loca, ad quae antea convenire consueverant, de quibus etiam datis ad officium tuum litteris certa antehac forma fuerat compre-

*) Quae — — nobis. Haec in codd. Lactantii corrupta leguntur, nec facile conjectura restitui poterunt. Versio graeca Eusebii habet: τοῦτο δὲ ὑφ' ἡμῶν γέγονεν, ὅπως μηδεμιᾷ τιμῇ μηδὲ θρησκείᾳ τινὶ μεμειῶσθαί τι ὑφ' ἡμῶν δοκοίη.

easdem, priore tempore aliquibus, vel a fisco nostro, vel ab alio quocunque videntur esse mercati, eadem Christianis sine pecunia et sine ulla pretii petitione, postposita omni frustratione atque ambiguitate, restituant. Qui etiam dono fuerunt consecuti, eadem similiter hisdem Christianis quantocius reddant; etiam vel hi qui emerunt, vel qui dono erunt consecuti, si putaverint, de nostra benevolentia aliquid vicarium postulent, quo et ipsis per nostram clementiam consulatur. Quae omnia corpori Christianorum protinus per intercessionem tuam ac sine mora tradi oportebit. Et quoniam iidem Christiani non in ea loca tantum, ad quae convenire consueverunt, sed alia etiam habuisse noscuntur ad ius corporis eorum, id est ecclesiarum, non hominum singulorum, pertinentia, ea omnia lege, qua superius comprehendimus, citra ullam prorsus ambiguitatem vel controversiam hisdem Christianis, id est corpori et conventiculis eorum reddi jubebis, supradicta scilicet ratione servata, ut ii, qui eadem sine pretio, sicut diximus, restituerint, indemnitatem de nostra benevolentia sperent. In quibus omnibus supradicto corpori Christianorum intercessionem tuam efficacissimam exhibere debebis; ut praeceptum nostrum quantocius compleatur; quo etiam in hoc per clementiam nostram, quieti publicae consulatur. Hacte-

nus fiat ut, sicut superius comprehensum est, divinus juxta nos favor, quem in tantis sumus rebus experti, per omne tempus prospere successibus nostris cum beatitudine publica perseveret. Ut autem hujus sanctionis benevolentiae nostrae forma ad omnium possit pervenire notitiam, prolata programmate tuo haec scripta, et ubique proponere, et ad omnium scientiam te perferre conveniet; ut hujus benevolentiae nostrae sanctio latere non possit.

CAPUT TERTIUM.

MONUMENTA AD HISTORIAM HAERESIUM ET SCHISMATUM PERTINENTIA.

[illegible]

[illegible]

[illegible]

[illegible]

[illegible]

I.

DE CERINTHO.

Diversa sunt et fere sibi opposita esse videntur quae de Cerintho Cajus, et Dionysius Alexandr. atque Irenaeus narrant; propterea tam hujus, quam illorum verba apposui.

Cajus et Dionysius de Cerintho.

(Ex Euseb. H. E. III, 28.)

Κατὰ τοὺς δεδηλωμένους χρόνους [1]), ἑτέρας αἱρέσεως ἀρχηγὸν γενέσθαι Κήρινθον παρειλήφαμεν. Γάϊος, οὗ φωνὰς ἤδη πρότερον [2]) παρατέθειμαι ἐν τῇ φερομένῃ αὐτοῦ ζητήσει, ταῦτα περὶ αὐτοῦ γράφει.

Ἀλλὰ καὶ Κήρινθος, ὁ δι' ἀποκαλύψεων ὡς ὑπὸ ἀποστόλου μεγάλου γεγραμμένων, τερατο-

1) Regnante Trajano.

2) II, 25.

λογίας ἡμῖν ὡς δι' ἀγγέλων αὐτῷ δεδειγμένας ψευδόμενος, ἐπεισάγει λέγων· μετὰ τὴν ἀνάστασιν ἐπίγειον εἶναι τὸ βασίλειον τοῦ Χριστοῦ, καὶ πάλιν ἐπιθυμίαις καὶ ἡδοναῖς ἐν Ἱερουσαλὴμ τὴν σάρκα πολιτευομένην δουλεύειν· καὶ ἐχθρὸς ὑπάρχων ταῖς γραφαῖς τοῦ Θεοῦ, ἀριθμὸν χιλιονταετίας ἐν γάμῳ ἑορτῆς, θέλων πλανᾶν, λέγει γίνεσθαι.

Καὶ Διονύσιος δέ, ὁ τῆς κατ' Ἀλεξάνδρειαν παροικίας καθ' ἡμᾶς τὴν ἐπισκοπὴν εἰληφώς, ἐν δευτέρῳ τῶν ἐπαγγελιῶν [3]) περὶ τῆς Ἰωάννου ἀποκαλύψεως εἰπών τινα ὡς ἐκ τῆς ἀνέκαθεν παραδόσεως, τοῦ αὐτοῦ μέμνηται ἀνδρὸς τούτοις ῥήμασιν·

Κήρινθον δὲ τὸν καὶ τὴν ἀπ' ἐκείνου κληθεῖσαν Κηρινθιανὴν αἵρεσιν συστησάμενον, ἀξιόπιστον ἐπιφημίσαι θελήσαντα τῷ ἑαυτοῦ πλάσματι ὄνομα. Τοῦτο γὰρ εἶναι τῆς διδασκαλίας αὐτοῦ τὸ δόγμα, ἐπίγειον ἔσεσθαι τὴν τοῦ Χριστοῦ βασιλείαν· καὶ ὧν αὐτὸς ὠρέγετο φιλοσώματος ὢν καὶ πάνυ σαρκικός, ἐν τούτοις ὀνειροπολεῖν ἔσεσθαι, γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα πλησμοναῖς· τοῦτ' ἔστι σιτίοις καὶ ποτοῖς καὶ γάμοις, καὶ δι' ὧν εὐφημότερον ταῦτα ᾠήθη ποριεῖσθαι, ἑορταῖς καὶ θυσίαις καὶ ἱερείων σφαγαῖς.

---

3) Scripsit Dionysius librum, περὶ ἐπαγγελιῶν contra Nepotem. Cf. Euseb. H. E, VII, 25.

Ire-

Irenaeus de Corintho.

(Adv. Haer. I, 25. Edit. Grab.)

Et Cerinthus autem quidam in Asia, non a primo Deo factum esse mundum docuit, sed a virtute quadam valde separata et distante ab ea principalitate quae est super universa, et ignorante eum qui est super omnia Deum. Jesum autem subjecit, non ex virgine natum, (impossibile enim hoc ei visum est) fuisse autem eum Joseph et Mariae filium, similiter ut reliqui omnes homines; et plus potuisse justitia et prudentia et sapientia ab omnibus. Et post baptismum descendisse in eum, ab ea principalitate quae est super omnia, Christum figura columbae; et tunc annuntiasse incognitum Patrem et virtutes perfecisse; in fine autem revolasse iterum Christum de Jesu, et Jesum passum esse et resurrexisse, Christum autem impassibilem perseverasse, existentem spiritalem.

II.

FRAGMENTUM LIBELLI IRENAEI AD FLORINUM.

(Ex Euseb. H. E. V, 20.)

Florinus, Polycarpi discipulus, postea ecclesiae Romanae presbyter impia docuerat de origine mali. Irenaeus, Florino a teneris amicus, eum castigavit libello, cui titulus erat: περὶ μοναρχίας, ἢ περὶ τοῦ μὴ εἶναι Θεὸν ποιητὴν κακῶν. Cajus libri fragmentum hoc est, praeter alia de Polycarpo nonnulla narrans, conferenda cum iis, quae de eodem leguntur supra p. 53.

Ταῦτα τὰ δόγματα, Φλωρῖνε, ἵνα πεφεισμένως εἴπω, οὐκ ἔστιν ὑγιοῦς γνώμης. Ταῦτα τὰ δόγματα ἀσύμφωνά ἐστι τῇ ἐκκλησίᾳ, εἰς τὴν μεγίστην ἀσέβειαν περιβάλλοντα τοὺς πειθομένους αὐτοῖς. Ταῦτα τὰ δόγματα οὐδὲ οἱ ἔξω τῆς ἐκκλησίας αἱρετικοὶ ἐτόλμησαν ἀποφήνασθαί ποτε. Ταῦτα τὰ δόγματα, οἱ πρὸ ἡμῶν πρεσβύτεροι, οἱ καὶ τοῖς ἀποστόλοις συμφοιτήσαντες, οὐ παρέδωκάν σοι. Εἶδον γάρ σε παῖς ὢν ἔτι, ἐν τῇ κάτω Ἀσίᾳ παρὰ τῷ Πολυκάρπῳ, λαμπρῶς πράττοντα ἐν τῇ βασιλικῇ αὐλῇ καὶ πει-

ρώμενον εὐδοκιμεῖν παρ' αὐτῷ. Μᾶλλον γὰρ τὰ τότε διαμνημονεύω τῶν ἔναγχος γινομένων. αἱ γὰρ ἐκ παίδων μαθήσεις συναύξουσαι τῇ ψυχῇ ἑνοῦνται αὐτῇ, ὥστε με δύνασθαι εἰπεῖν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος διελέγετο ὁ μακάριος Πολύκαρπος, καὶ τὰς προόδους αὐτοῦ καὶ τὰς εἰσόδους καὶ τὸν χαρακτῆρα τοῦ βίου, καὶ τὴν τοῦ σώματος ἰδέαν, καὶ τὰς διαλέξεις ἃς ἐποιεῖτο πρὸς τὸ πλῆθος, καὶ τὴν μετὰ Ἰωάννου συναναστροφὴν, ὡς ἀπήγγελλε καὶ τὴν μετὰ τῶν λοιπῶν τῶν ἑωρακότων τὸν κύριον, καὶ ὡς ἀπεμνημόνευε τοὺς λόγους αὐτῶν, καὶ περὶ τοῦ κυρίου τινὰ ἦν, ἃ παρ' ἐκείνων ἀκηκόει· καὶ περὶ τῶν δυνάμεων αὐτοῦ καὶ περὶ τῆς διδασκαλίας, ὡς παρὰ τῶν αὐτοπτῶν τῆς ζωῆς τοῦ λόγου παρειληφὼς ὁ Πολύκαρπος, ἀπήγγελλε πάντα σύμφωνα ταῖς γραφαῖς. Ταῦτα καὶ τότε διὰ τὸ ἔλεος τοῦ Θεοῦ τὸ ἐπ' ἐμοὶ γεγονὸς σπουδαίως ἤκουον, ὑπομνηματιζόμενος αὐτὰ οὐκ ἐν χάρτῃ, ἀλλ' ἐν τῇ ἐμῇ καρδίᾳ· καὶ ἀεὶ διὰ τὴν χάριν τοῦ Θεοῦ γνησίως αὐτὰ ἀναμαρυκῶμαι· καὶ δύναμαι διαμαρτύρασθαι ἔμπροσθεν τοῦ Θεοῦ, ὅτι, εἴ τι τοιοῦτον ἀκηκόει ἐκεῖνος ὁ μακάριος καὶ ἀποστολικὸς πρεσβύτερος, ἀνακράξας ἂν καὶ ἐμφράξας τὰ ὦτα αὐτοῦ καὶ κατὰ τὸ σύνηθες εἰπών· ὦ καλὲ Θεέ, εἰς οἵους με καιροὺς τετήρηκας, ἵνα τούτων ἀνέχωμαι, πεφεύγοι ἂν καὶ τὸν τόπον ἐν ᾧ καθεζόμενος ἢ ἑστὼς τῶν τοιούτων ἀκηκόει λόγων· καὶ ἐκ τῶν ἐπιστολῶν δὲ αὐτοῦ, ὧν ἐπέστειλεν, ἤτοι ταῖς γειτνιώσαις

ἐκκλησίαις ἐπιστηρίζων αὐτάς, τῶν ἀδελφῶν νουθετῶν αὐτοὺς καὶ προσφωνῶν, δύναται φανερωθῆναι.

III.

FRAGMENTA LIBRI ANONYMI ADVERSUS MONTANISTAS.

(Ex Euseb. H. E. V, 16. 17.)

Autorem hujus libri Rufinus et Nicephorus vocant Apollinarem Hierapolitanum, qui adversus Montanistas scripsit (Eus. H. E. IV, 27. et V, 16 init.) Hieronymus mox Apollonium, mox Rhodonem; sed omnes sine rationibus fide dignis. Eusebius autorem dicit τινὰ τῶν τηνικάδε λογίων ἀνδρῶν. Valesius Asterium Urbanum quendam autorem hujus libri esse censet, sed gravissime fallitur. De hoc Asterio Urbano paulo infra plura habes.

Ἐκ πλείστου ὅσου καὶ ἱκανωτάτου χρόνου, ἀγαπητὲ Ἀουίρκιε Μάρκελλε, ἐπιταχθεὶς ὑπὸ σοῦ συγγράψαι τινὰ λόγον εἰς τὴν τῶν κατὰ

Μιλτιάδην 1) λεγομένην αἵρεσιν [illegible] [illegible] μέχρι νῦν ἐπεσχηκὼς, οὐκ ἀπορίᾳ τοῦ δύνασθαι ἐλέγχειν μὲν τὸ ψεῦδος, μαρτυρεῖν δὲ τῇ ἀληθείᾳ· δεδιὼς δὲ καὶ ἐξευλαβούμενος, μή πῃ δόξω τισὶν ἐπισυγγράφειν, ἢ ἐπιδιατάσσεσθαι τῷ τῆς τοῦ εὐαγγελίου καινῆς διαθήκης λόγῳ· ᾧ μήτε προσθεῖναι, μήτε ἀφελεῖν δυνατὸν, τῷ κατὰ τὸ εὐαγγέλιον αὐτὸ πολιτεύεσθαι προῃρημένῳ. Προσφάτως δὲ γενόμενος ἐν Ἀγκύρᾳ τῆς Γαλατίας καὶ καταλαβὼν τὴν κατὰ τόπον 2) ἐκκλησίαν ὑπὸ τῆς νέας ταύτης, οὐχ ὥς αὐτοί φασι, προφητείας, πολὺ δὲ μᾶλλον ὡς δειχθήσεται, ψευδοπροφητείας διατεθρυλλημένην, καθόσον δυνατὸν τοῦ κυρίου παρασχόντος, περί τε αὐτῶν τούτων καὶ τῶν προτεινομένων ὑπ' αὐτῶν ἕκαστά τε διελέχθημεν ἡμέραις πλείοσιν ἐν τῇ ἐκκλησίᾳ· ὡς τὴν μὲν ἐκκλησίαν ἀγαλλιασθῆναι καὶ πρὸς τὴν ἀλήθειαν ἐπιρρωσθῆναι· τοὺς δὲ ἐξ ἐναντίας πρὸς τὸ παρὸν ἀποκρουσθῆναι καὶ τοὺς ἀντιθέτους λυπηθῆναι. Ἀξιούντων οὖν τῶν

---

1) Cur Anonymus noster sectam Cataphrygum Miltiadis dicat, obscurum est. Nicephorus addit ἥτις δ᾽ εἴη ἡ Μιλτιάδου. Miltiadem fuisse inter Montani propugnatores ignoramus, censet itaque Valesius Eusebium permutasse Miltiadem et Alcibiadem, cujus mentionem facit Eus. V, 3. et aut hic legendum esse: Alcibiades, aut illuc scribendum: Miltiades. Similis nominum Alcibiadis et Miltiadis permutatio reperitur V, 17.

2) Omnes melioris notae codices manuscripti legunt κατὰ Πόντον, cod. Reg. vero et Niceph. nostram lectionem tuentur, quae sane praeferenda videtur: ipsam enim ecclesiam Ancyrae infectam fuisse falsis Montani prophetiis dicit autor: Ancyra vero Galatiae, non Ponti urbs est.

κατὰ τόπον πρεσβυτέρων, ὅπως τῶν λεχθέντων κατὰ τῶν ἀντιδιατιθεμένων τῷ τῆς ἀληθείας λόγῳ ὑπόμνημά τι καταλίπωμεν, παρόντος καὶ τοῦ συμπρεσβυτέρου ἡμῶν Ζωτικοῦ τοῦ Ὀτρηνοῦ, τοῦτο μὲν οὐκ ἐπράξαμεν, ἐπηγγειλάμεθα δὲ ἐνθάδε γράψαντες, τοῦ κυρίου διδόντος, διὰ σπουδῆς πέμπειν αὐτοῖς.

Ταῦτα καὶ ἑξῆς τούτοις ἕτερα κατ' ἀρχὰς εἰπὼν τοῦ λόγου, τὸν αἴτιον τῆς δηλουμένης αἱρέσεως προϊών, τοῦτον ἀνιστορεῖ τὸν τρόπον.

Ἡ τοίνυν ἔνστασις αὐτῶν καὶ ἡ πρόσφατος τοῦ ἀποσχίσματος αἵρεσις πρὸς τὴν ἐκκλησίαν τὴν αἰτίαν ἔσχε τοιαύτην. Κώμη τις εἶναι λέγεται ἐν τῇ κατὰ τὴν Φρυγίαν Μυσίᾳ [3]), καλουμένη Ἀρδαβαῦ τοὔνομα, ἔνθα φασί τινα τῶν νεοπίστων πρώτως, Μοντανὸν τοὔνομα, κατὰ Γρατὸν Ἀσίας ἀνθύπατον, ἐν ἐπιθυμίᾳ ψυχῆς ἀμέτρῳ φιλοπρωτείας δόντα πάροδον εἰς ἑαυτὸν τῷ ἀντικειμένῳ, πνευματοφορηθῆναί τε καὶ αἰφνιδίως ἐν κατοχῇ τινι καὶ παρεκστάσει γενόμενον ἐνθουσιᾶν, ἄρξασθαί τε λαλεῖν καὶ ξενοφωνεῖν, παρὰ τὸ κατὰ παράδοσιν καὶ κατὰ διαδοχὴν ἄνωθεν τῆς ἐκκλησίας ἔθος δῆθεν προφητεύοντα. Τῶν δὲ κατ' ἐκεῖνο καιροῦ ἐν τῇ τῶν νόθων ἐκφωνημάτων ἀκροάσει γενομένων, οἱ μὲν, ὡς ἐπὶ ἐνεργουμένῳ καὶ δαιμονῶντι καὶ ἐν πλάνης πνεύματι ὑπάρχοντι, καὶ τοὺς ὄχλους ταράττοντι ἀχθό-

3) ἡ κατὰ τὴν Φρυγίαν Μυσία est Mysia Phrygiae confinis; ita distinguebatur a Mysia Europaea, quam Romani Moesiam appellabant.

μένοις, ἐπιτιμῶν καὶ λαλεῖν ἐκώλυον, μεμνημένοι τῆς ὑπὸ τοῦ κυρίου διαστολῆς τε καὶ ἀπειλῆς πρὸς τὸ φυλάττεσθαι τὴν τῶν ψευδοπροφητῶν ἐγρηγορότως παρουσίαν· οἱ δὲ, ὡς ἁγίῳ πνεύματι καὶ προφητικῷ χαρίσματι ἐπαιρόμενοι καὶ οὐχ ἥκιστα χαυνούμενοι καὶ τῆς διαστολῆς τοῦ κυρίου ἐπιλανθανόμενοι, τὸ βλαψίφρον καὶ ὑποκοριστικὸν καὶ λαοπλάνον πνεῦμα προυκαλοῦντο, θελγόμενοι καὶ πλανώμενοι ὑπ' αὐτοῦ, εἰς τὸ μηκέτι κωλύεσθαι σιωπᾶν. Τέχνῃ δέ τινι, μᾶλλον δὲ τοιαύτῃ μεθόδῳ κακοτεχνίας ὁ διάβολος τὴν κατὰ τῶν παρηκόων ἀπώλειαν μηχανησάμενος, καὶ παρ' ἀξίαν ὑπ' αὐτῶν τιμώμενος, ὑπεξήγειρέ τε καὶ προσεξέκαυσεν αὐτῶν τὴν ἀποκεκοιμημένην ἀπὸ τῆς κατὰ ἀλήθειαν πίστεως διάνοιαν, ὡς καὶ ἑτέρας τινὰς δύο γυναῖκας 4) ἐπεγεῖραι καὶ τοῦ νόθου πνεύματος πληρῶσαι, ὡς καὶ λαλεῖν ἐκφρόνως καὶ ἀκαίρως καὶ ἀλλοτριοτρόπως ὁμοίως τῷ προειρημένῳ. Καὶ τοὺς μὲν χαίροντας καὶ χαυνουμένους ἐπ' αὐτῷ μακαρίζοντος τοῦ πνεύματος καὶ διὰ τοῦ μεγέθους τῶν ἐπαγγελμάτων ἐκφυσιοῦντος· ἔσθ' ὅπῃ δὲ καὶ καταρρίνοντας στοχαστικῶς καὶ ἀξιοπίστως αὐτοὺς ἄντικρυς, ἵνα καὶ ἐλεγκτικὸν εἶναι δοκῇ· ὀλίγοι δ' ἦσαν οὗτοι τῶν Φρυγῶν ἐξηπατημένοι· τὴν δὲ καθόλου καὶ πᾶσαν τὴν ὑπὸ τὸν οὐρανὸν ἐκκλησίαν βλασφημεῖν διδάσκοντος τοῦ ἀπηυθαδισμένου πνεύματος, ὅτι μήτε τιμὴν, μήτε πάροδον εἰς αὐτὴν τὸ ψευδοπροφητικὸν ἐλάμβανε πνεῦμα·

4) Maximillam et Priscillam.

τῶν γὰρ κατὰ τὴν Ἀσίαν πιστῶν πολλάκις καὶ πολλαχῆ τῆς Ἀσίας εἰς τοῦτο συνελθόντων, 5) καὶ τοὺς προσφάτους λόγους ἐξετασάντων καὶ βεβήλους ἀποφηνάντων καὶ ἀποδοκιμασάντων τὴν αἵρεσιν, οὕτω δὴ τῆς τε ἐκκλησίας ἐξεώσθησαν καὶ τῆς κοινωνίας εἴρχθησαν.

Ταῦτα ἐν πρώτοις ἱστορήσας, καὶ δι' ὅλου τοῦ συγγράμματος τὸν ἔλεγχον τῆς κατ' αὐτοὺς πλάνης ἐπαγαγών, ἐν τῷ δευτέρῳ περὶ τῆς τελευτῆς τῶν προδεδηλωμένων ταῦτά φησιν·

Ἐπειδὰν τοίνυν καὶ προφητοφόντας ἡμᾶς ἀπεκάλουν, ὅτι μὴ τοὺς ἀμετροφώνους αὐτῶν προφήτας ἐδεξάμεθα, τούτους γὰρ εἶναί φασιν, οὕσπερ ἐπηγγείλατο τῷ λαῷ πέμψειν ὁ κύριος· ἀποκρινάσθωσαν ἡμῖν πρὸς Θεοῦ· ἔστι τις, ὦ, βέλτιστοι, τούτων τῶν ἀπὸ Μοντανοῦ καὶ γυναικῶν λαλεῖν ἀρξαμένων, ὅστις ὑπὸ Ἰουδαίων ἐδιώχθη, ἢ ὑπὸ παρανόμων ἀπεκτάνθη; οὐδείς· οὐδέ γέ τις αὐτῶν κρατηθεὶς ὑπὲρ τοῦ ὀνόματος ἀνεσταυρώθη; οὐ γὰρ οὖν· οὐδὲ μὴν οὐδ' ἐν συναγωγαῖς τῶν Ἰουδαίων τῶν γυναικῶν τις ἐμαστιγώθη ποτὲ ἢ ἐλιθοβολήθη; οὐδαμόσε οὐδαμῶς 6)· ἄλλῳ δὲ θανάτῳ τελευτῆσαι λέγεται

5) Primum hoc loco synodorum mentio fit, quo loco habitae sint ignoratur; forsan Hierapoli praesidente Apollinari, quod mihi alius Eusebii locus (V, 19.) indicare videtur.

6) Haec ut alia plura autor noster invidia permotus scripsit adversus Montanistas. Tantum aberant Cataphryges, ut evitarent martyrium, ut arderent cupiditate martyrii consequendi, quod ex uno Tertulliano satis superque patet, qui ne fugam quidem in persecutionibus licere voluit, ut in fine libelli hoc de

Μοντανόν τε καὶ Μαξίμιλλαν. Τούτους γὰρ ὑπὸ πνεύματος βλαψίφρονος ἑκατέρους ὑποκινήσαντος, λόγος ἀναρτῆσαι ἑαυτούς· οὐχ ὁμοῦ, κατὰ δὲ τὸν τῆς ἑκάστου τελευτῆς καιρόν, φήμη πολλή· καὶ οὕτω δὲ τελευτῆσαι καὶ τὸν βίον καταστρέψαι Ἰούδα προδότου δίκην. Καθάπερ καὶ τὸν θαυμαστὸν ἐκεῖνον τὸν πρῶτον τῆς κατ᾽ αὐτοὺς λεγομένης προφητείας οἷον ἐπίτροπόν [7]) τινα Θεόδοτον πολὺς αἱρεῖ λόγος, ὥς αἰρόμενόν ποτε καὶ ἀναλαμβανόμενον εἰς οὐρανοὺς, παρεκστῆναί τε καὶ καταπιστεῦσαι ἑαυτὸν τῷ τῆς ἀπάτης πνεύματι καὶ δισκευθέντα κακῶς τελευτῆσαι. Φασὶ γοῦν τοῦτο οὕτω γεγονέναι· ἀλλὰ μὴ ἄνευ τοῦ ἰδεῖν ἡμᾶς, ἐπίστασθαί τι τῶν τοιούτων νομίζομεν ὦ μακάριε. Ἴσως μὲν γὰρ οὕτως, ἴσως δὲ οὐχ οὕτω τετελευτήκασι Μοντανός τε καὶ Θεόδοτος καὶ ἡ προειρημένη γυνή. [8])

Αὖθις δ᾽ ἐν τῷ αὐτῷ φησὶ λόγῳ, τοὺς τότε ἱεροὺς ἐπισκόπους πεπειρᾶσθαι μὲν τὸ ἐν τῇ Μαξιμίλλῃ πνεῦμα διελέγξαι, κεκωλῦσθαι δὲ πρὸς ἑτέρων, συνεργούντων δηλαδὴ τῷ πνεύματι. Γράφει δὲ οὕτως·

---

re agentis scribit: „paracletus necessarius omnium veritatum deductor, exhortator omnium tolerantiarum; quem qui receperunt, neque fugere persecutionem, neque redimere noverunt, habentes ipsum, qui pro nobis erit, sicut locuturus in interrogatione, ita adjuvaturus in passione.“

7) ἐπίτροπον dicit Theodotum, arcam enim habebant Montanistae, in quam stipites conferebant, hujusque arcae curam gerebat Theodotus.

7) Fide igitur indigna esse ea, quae supra retulit autor de morte Montani et sociorum, haud obscure indicat.

Καὶ μὴ λεγέτω ἐν τῷ αὐτῷ λόγῳ τῷ κατὰ Ἀστέριον Οὐρβανόν [9]) τὸ διὰ Μαξιμίλλης πνεῦμα· διώκομαι ὡς λύκος ἐκ προβάτων· οὐκ εἰμὶ λύκος· ῥῆμά εἰμι καὶ πνεῦμα καὶ δύναμις· ἀλλὰ τὴν ἐν τῷ πνεύματι δύναμιν ἐναργῶς δειξάτω καὶ ἐλεγξάτω καὶ ἐξομολογήσασθαι διὰ τοῦ πνεύματος καταναγκασάτω τοὺς τότε παρόντας εἰς τὸ δοκιμάσαι καὶ διαλεχθῆναι τῷ πνεύματι λαλοῦντι ἄνδρας δοκίμους καὶ ἐπισκόπους, Ζωτικὸν ἀπὸ Κομάνης κώμης, καὶ Ἰουλιανὸν ἀπὸ Ἀπαμίας, ὧν οἱ περὶ Θεμίσωνα [10]) τὰ στόματα φιμώσαντες, οὐκ εἴασαν τὸ ψευδὲς καὶ λαοπλάνον πνεῦμα ὑπ' αὐτῶν ἐλεγχθῆναι.

Ἐν ταὐτῷ δὲ πάλιν ἕτερα μεταξὺ πρὸς ἔλεγχον τῶν τῆς Μαξιμίλλης ψευδοπροφητειῶν εἰπὼν ὁμοῦ τόν τε χρόνον καθ' ὃν ταῦτ' ἔγραφε σημαίνει, καὶ τῶν προρρήσεων αὐτῆς μέμνηται, δι' ὧν πολέμους ἔσεσθαι καὶ ἀκαταστασίας προμαντεύσατο [11]), ὧν καὶ τὴν ψευδολογίαν εὐθύνει ὧδε λέγων·

---

9) Valesius verba τῷ κατὰ Ἀστέριον Οὐρβανὸν scholion esse censet, ad verba αὐτῷ δ' ἐν τῷ αὐτῷ φησὶ λόγῳ etc. colligit hunc Asterium esse autorem horum librorum, sed satis eum refellit Wernsdorf. de Montanistis p. 4. Docet enim Asterium scripsisse pro Montanistis et autorem Anonymum prius jam ex ejus libro locum attulisse et jam pergere ἐν τῷ αὐτῷ λόγῳ cet.

10) Plura de hoc exhibet Apollonius cujus fragmenta infra leguntur, illustris eminebat inter Montanistas Themison.

11) Maximilla enim συντέλειαν τοῦ αἰῶνος praedixit et plagas hanc mundi eversionem praecedentes. Cf. quae in sequentibus leguntur ex Epiph. haer. 48. de Maximilla.

Καὶ πῶς οὐ καταφανὲς ἤδη γέγονε καὶ τοῦτο τὸ ψεῦδος; πλείω γὰρ ἢ τρισκαίδεκα ἔτη[12] εἰς ταύτην τὴν ἡμέραν, ἐξ οὗ τετελεύτηκεν ἡ γυνὴ καὶ οὔτε μερικὸς, οὔτε καθολικὸς κόσμῳ γέγονε πόλεμος· ἀλλὰ καὶ χριστιανοῖς μᾶλλον εἰρήνη διάμονος ἐξ ἐλέους Θεοῦ.

Καὶ ταῦτα δ' ἐκ τοῦ δευτέρου συγγράμματος. Καὶ ἀπὸ τοῦ τρίτου δὲ σμικρὰς παραθήσομαι λέξεις, δι' ὧν πρὸς τοὺς αὐχοῦντας, ὡς ἄρα πλείους καὶ αὐτῶν μεμαρτυρηκότες εἶεν, ταῦτά φησιν.

Ὅταν τοίνυν ἐν πᾶσι τοῖς εἰρημένοις ἐλεγχθέντες ἀπορήσωσιν, ἐπὶ τοὺς μάρτυρας καταφεύγειν πειρῶνται, λέγοντες πολλοὺς ἔχειν μάρτυρας[13] καὶ τοῦτ' εἶναι τεκμήριον πιστὸν τῆς δυνάμεως τοῦ παρ' αὐτοῖς λεγομένου προφητικοῦ πνεύματος. Τὸ δ' ἐστὶν ἄρα ὡς ἔοικε παντὸς μᾶλλον οὐκ ἀληθές. Καὶ γὰρ τῶν ἄλλων αἱρέσεών τινες, πλείστους ὅσους ἔχουσι μάρτυρας καὶ οὐ παρὰ τοῦτο δήπου συγκαταθησόμεθα, οὐδὲ ἀλήθειαν ἔχειν αὐτοὺς ὁμολογήσομεν. Καὶ πρῶτοί γε οἱ ἀπὸ τῆς Μαρκίωνος αἱρέσεως Μαρκιωνισταὶ καλούμενοι, πλείστους ὅσους ἔχειν Χριστοῦ μάρτυρας λέγουσιν. Ἀλλὰ τόν γε Χριστὸν αὐτὸν κατ' ἀλήθειαν οὐχ ὁμολογοῦσι.

---

12) Hoc temporis spatium regnante Commodo a. 180—193 est; ante et post Commodum flagrabant bella et tumultus. Circa annum 180 itaque diem obiisse videtur Maximilla. Cf. Wernsdorf. de Montanistis p. 8.

13) Concedit auctor, certe non negat martyrium obiisse Montanistas, eaque iam evertit ipse, quas supra de defectu martyrum inter Montanistas legimus.

Καὶ μετὰ βραχέα τούτοις ἐπιφέρει λέγων.

Ὅθεν τοι καὶ ἐπειδὰν οἱ ἐπὶ τὸ τῆς κατὰ ἀλήθειαν πίστεως μαρτύριον κληθέντες ἀπὸ τῆς ἐκκλησίας τύχωσι μετά τινων τῶν ἀπὸ τῆς τῶν Φρυγῶν αἱρέσεως λεγομένων μαρτύρων, διαφέρονταί τε πρὸς αὐτούς, καὶ μὴ κοινωνήσαντες αὐτοῖς τελειοῦνται, διὰ τὸ μὴ βούλεσθαι συγκατατίθεσθαι τῷ διὰ Μοντανοῦ καὶ τῶν γυναικῶν πνεύματι. Καὶ ὅτι τοῦτ' ἀληθὲς καὶ ἐπὶ τῶν ἡμετέρων χρόνων ἐν Ἀπαμείᾳ, τῇ πρὸς Μαιάνδρῳ, τυγχάνει γεγενημένον, ἐν τοῖς περὶ Γάϊον καὶ Ἀλέξανδρον ἀπὸ Εὐμενείας 14) μαρτυρήσασι, πρόδηλον.

(Cap. 17.) Ἐν τούτῳ δὲ τῷ συγγράμματι καὶ Μιλτιάδου συγγραφέως μέμνηται, ὡς λόγον τινὰ καὶ αὐτοῦ κατὰ τῆς προειρημένης αἱρέσεως γεγραφότος. Παραθέμενος οὖν αὐτῶν λέξεις τινάς, ἐπιφέρει λέγων.

Ταῦτα εὑρὼν ἔν τινι συγγράμματι αὐτῶν ἐνισταμένων τῷ Μιλτιάδου 15) τοῦ ἀδελφοῦ συγγράμματι, ἐν ᾧ ἀποδείκνυσι περὶ τοῦ μὴ δεῖν προφήτην ἐν ἐκστάσει λαλεῖν, ἐπετεμόμην.

Ὑποκαταβὰς δ' ἐν ταὐτῷ τοὺς κατὰ τὴν καινὴν διαθήκην προπεφητευκότας καταλέγει, ἐν οἷς καταριθμεῖ Ἀμμίαν τινὰ καὶ Κοδρᾶτον, λέγων οὕτως.

---

14) Phrygiae oppidum Hierapolin inter et Apameam.

15) Editiones et codd. legunt Ἀλκιβιάδου excepto Strothio; consentiunt vero omnes legendum esse Μιλτιάδου quod orationis contextus necessario flagitat.

Ἀλλ' ὅγε ψευδοπροφήτης ἐν παρεκστάσει, ᾧ ἕπεται ἄδεια καὶ ἀφοβία, ἀρχόμενος μὲν ἐξ ἑκουσίου ἀμαθίας, καταστρέφων δὲ εἰς ἀκούσιον μανίαν ψυχῆς, ὡς προείρηται. Τοῦτον δὲ τὸν τρόπον, οὔτε τινὰ τῶν κατὰ τὴν παλαιὰν, οὔτε τῶν κατὰ τὴν καινὴν, πνευματοφορηθέντα προφήτην δεῖξαι δυνήσονται, οὔτε Ἄγαβον, οὔτε Ἰούδαν, οὔτε Σίλαν, οὔτε τὰς Φιλίππου θυγατέρας, οὔτε τὴν ἐν Φιλαδελφείᾳ Ἀμμίαν, οὔτε Κοδρᾶτον, οὔτε τινὰς ἄλλους μηδὲν αὐτοῖς προσήκοντας καυχήσονται.

Αὖθις δὲ μετὰ βραχέα ταῦτά φησιν.

Εἰ γὰρ μετὰ Κοδρᾶτον καὶ τὴν ἐν Φιλαδελφείᾳ Ἀμμίαν, ὥς φασιν, αἱ περὶ Μοντανὸν διεδέξαντο γυναῖκες τὸ προφητικὸν χάρισμα, τοὺς ἀπὸ Μοντανοῦ καὶ τῶν γυναικῶν τίνες παρ' αὐτοῖς διεδέξαντο, δειξάτωσαν [16]. Δεῖν γὰρ εἶναι τὸ προφητικὸν χάρισμα ἐν πάσῃ ἐκκλησίᾳ μέχρι τῆς τελείας παρουσίας ὁ ἀπόστολος ἀξιοῖ. Ἀλλ' οὐκ ἂν ἔχοιεν δεῖξαι τεσσαρεσκαιδέκατον ἤδη που τοῦτο ἔτος ἀπὸ τῆς Μαξιμίλλης τελευτῆς.

---

16) Non defuisse Montanistis prophetas et prophetissas certo scimus. Tertullianus de anima c. 9. Firmilianus in epist. 75. Cypriani, prophetarum Montanisticorum mentionem faciunt.

IV.

FRAGMENTA LIBRI APOLLONII ADVERSUS MONTANISTAS.

(*Ex Euseb. H. E. V, 18.*)

De Apollonio hoc nihil apud veteres legitur. Eusebius (V, 18. init.) de eo ait: Ἀπολλώνιος ἐκκλησιαστικὸς συγγραφεὺς ἴδιον κατὰ Φρύγας καλουμένης αἱρέσεως πεποίηται σύγγραμμα. Alius Apollonii mentionem facit Euseb. H. E. V, 21. Uterque distinguendus est ab Apollinari Hierapolitano, qui Cataphrygas et ipse oppugnavit. (V. 16. init.) Cf. de Apollinari Euseb. V, 5. supra pag. 80. et IV, 27.

Ἀλλὰ τίς ἐστιν οὗτος ὁ πρόσφατος διδάσκαλος, τὰ ἔργα αὐτοῦ καὶ ἡ διδασκαλία δείκνυσιν. Οὗτός ἐστιν ὁ διδάξας λύσεις γάμων [1], ὁ νηστείας νομοθετήσας, ὁ Πέπουζαν καὶ Τύμιον Ἱερουσαλὴμ ὀνομάσας, (πόλεις δ' εἰσὶν αὗται μικραὶ τῆς Φρυγίας) τοὺς πανταχόθεν ἐκεῖ συναγαγεῖν ἐθέλων· ὁ πρακτῆρας χρημάτων καταστήσας, ὁ ἐπ' ὀνόματι προσφορῶν τὴν δωροληψίαν ἐπιτεχνώμενος, ὁ σαλάρια χορηγῶν τοῖς κηρύττουσιν αὐτοῦ τὸν

---

1) Prophetissas intelligit maritos relinquentes et Montanum sequentes.

λόγον· ἵνα διὰ τῆς γαστριμαργίας ἡ διδασκαλία τοῦ λόγου κρατύνηται.

Καὶ ταῦτα μὲν περὶ τοῦ Μοντανοῦ. Καὶ περὶ τῶν προφητίδων δὲ αὐτοῦ ὑποκαταβὰς οὕτω γράφει·

Δείκνυμεν οὖν αὐτὰς πρώτας τὰς προφήτιδας ταύτας ἀφ' οὗ τοῦ πνεύματος ἐπληρώθησαν, τοὺς ἄνδρας καταλιπούσας. Πῶς οὖν ἐψεύδοντο Πρίσκαν [2]) παρθένον ἀποκαλοῦντες;

Εἶτ' ἐπιφέρει λέγων·

Οὐ δοκεῖ σοι πᾶσα γραφὴ κωλύειν προφήτην λαμβάνειν δῶρα καὶ χρήματα; ὅταν οὖν ἴδω τὴν προφῆτιν εἰληφυῖαν καὶ χρυσὸν καὶ ἄργυρον καὶ πολυτελεῖς ἐσθῆτας, πῶς αὐτὴν μὴ παραιτήσομαι;

Αὖθις δ' ὑποκαταβὰς περί τινος τῶν κατ' αὐτοὺς ὁμολογητῶν ταῦτά φησιν·

Ἔτι δὲ καὶ Θεμίσων ὁ τὴν ἀξιόπιστον πλεονεξίαν ἠμφιεσμένος, ὁ μὴ βαστάσας τῆς ὁμολογίας τὸ σημεῖον [3]), ἀλλὰ πλήθει χρημάτων ἀποθέμενος τὰ δεσμά, δέον ἐπὶ τούτῳ ταπεινοφρονεῖν, ὡς μάρτυς καυχώμενος, ἐτόλμησε μιμούμενος τὸν ἀπόστολον, καθολικήν τινα συνταξάμενος ἐπιστολήν [4]), κατηχεῖν μὲν τοὺς ἄμει-

2) Priscilla vulgo; a Tertulliano de resurr. carn. c. 11. et saepius, Firmiliano, aliisque Prisca etiam vocatur.

3) Christophorsonus voluit signum confessionis esse *crucem*, rectius Valesius *vincula* intellexit; crux enim martyrii potius diceretur quam confessionis signum.

4) In qua sine dubio omnibus ubique ecclesiis novos exstitisse prophetas nuntiavit.

τὸν αὐτοῦ πεπιστευκότας· συναγωνίζεσθαι δὲ τοῖς τῆς κενοφωνίας λόγοις· βλασφημῆσαι δὲ εἰς τὸν κύριον καὶ τοὺς ἀποστόλους καὶ τὴν ἁγίαν ἐκκλησίαν.

Καὶ περὶ ἑτέρου δὲ αὖθις τῶν κατ' αὐτοὺς τετιμημένων ὡς δὴ μαρτύρων οὕτω γράφει·

Ἵνα δὲ μὴ περὶ πλειόνων λέγωμεν, ἡ προφῆτις ἡμῖν εἰπάτω τὰ κατὰ Ἀλέξανδρον, τὸν λέγοντα ἑαυτὸν μάρτυρα, ᾧ συνεστιᾶται, ᾧ προσκυνοῦσι καὶ αὐτῷ πολλοί, οὗ τὰς ληστείας καὶ τὰ ἄλλα τολμήματα ἐφ' οἷς κεκόλασται, οὐχ ἡμᾶς δεῖ λέγειν, ἀλλ' ὁ ὀπισθόδομος [5]) ἔχει. Τίς οὖν τινι χαρίζεται τὰ ἁμαρτήματα; πότερον ἡ προφῆτις τὰς ληστείας τῷ μάρτυρι, ἢ ὁ μάρτυς τῇ προφήτιδι τὰς πλεονεξίας; εἰρηκότος γὰρ τοῦ κυρίου μὴ κτήσησθε χρυσὸν μήτε ἄργυρον μήτε δυὸ χιτῶνας, οὗτοι πᾶν τοὐναντίον, πεπλημμελήκασι περὶ τὰς τούτων τῶν ἀπηγορευμένων κτήσεις. Δείξομεν γὰρ τοὺς λεγομένους παρ' αὐτοῖς προφήτας καὶ μάρτυρας, μὴ μόνον παρὰ πλουσίων, ἀλλὰ καὶ παρὰ πτωχῶν, καὶ ὀρφανῶν, καὶ χηρῶν κερματιζομένους· καὶ εἰ πεποίθησιν ἐν τούτῳ, στήτωσαν καὶ διορισάσθωσαν ἐπὶ τούτοις, ἵνα ἐὰν ἐλεγχθῶσι, κἂν τοῦ λοιποῦ παύσωνται πλημμελοῦντες. Δεῖ γὰρ τοὺς καρποὺς δοκιμάζεσθαι τοῦ προφήτου· ἀπὸ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Ἵνα δὲ τοῖς βου-

5) ὀπισθόδομος vulgo significat aerarium, in quo pecunia publica recondebatur; hoc loco est tabularium, ubi acta publica asservabantur; quod paulo infra ἀρχεῖον dicitur.

(Strom. IV, 12.) Βασιλείδης δὲ ἐν τῷ εἰκοστῷ τρίτῳ τῶν ἐξηγητικῶν, περὶ τῶν κατὰ τὸ μαρτύριον κολαζομένων, αὐταῖς λέξεσι τάδε φησίν· Φημὶ γὰρ τοῦτο, ὁπόσοι ὑποπίπτουσι ταῖς λεγομέναις θλίψεσιν, ἤτοι ἡμαρτηκότες ἐν ἄλλοις λανθάνοντες πταίσμασιν, εἰς τοῦτο ἄγονται τὸ ἀγαθόν, χρηστότητι τοῦ περιάγοντος· ἀλλὰ ἐξ ἄλλων ὄντως ἐγκαλούμενοι, ἵνα μὴ ὡς κατάδικοι ἐπὶ κακοῖς ὁμολογουμένοις πάθωσι· μηδὲ λοιδορούμενοι ὡς ὁ μοιχὸς ἢ ὁ φονεύς, ἀλλ' ὅτι χριστιανοὶ πεφυκότες, ὅπερ αὐτοὺς παρηγορήσει μηδὲ πάσχειν δοκεῖν. Κἂν μὴ ἡμαρτηκὼς δ' ὅλως τις ἐπὶ τὸ παθεῖν γίνηται, σπάνιον μέν, ἀλλ' οὐδὲ οὗτος κατ' ἐπιβουλὴν δυνάμεώς τι πείσεται, ἀλλὰ πείσεται ὡς ἔπασχε καὶ τὸ νήπιον τὸ δοκοῦν οὐχ ἡμαρτηκέναι.

Εἶθ' ὑποβὰς πάλιν ἐπιφέρει·

Ὡς οὖν τὸ νήπιον οὐ προημαρτηκός, ἢ ἐνεργῶς μὲν οὐχ ἡμαρτηκὸς οὐδὲν ἐν ἑαυτῷ, τὸ δὲ ἁμαρτῆσαι ἔχον, ἐπὰν ὑποβληθῇ τὸ παθεῖν, εὐεργετεῖταί τι, πολλὰ κερδαῖνον δύσκολα· οὕτω σὺ δή, κἂν τέλεος μηδὲν ἡμαρτηκὼς ἔργῳ τύχῃ, πάσχῃ δὲ καὶ πάθῃ, ταὐτὸ ἔπαθεν ἐμφερῶς τῷ νηπίῳ· ἔχων μὲν ἐν ἑαυτῷ τὸ ἁμαρτητικόν, ἀφορμὴν δὲ πρὸς τὸ ἡμαρτηκέναι μὴ λαβών, οὐχ ἡμάρτανεν· ὥστ' οὐχ αὐτῷ τὸ μὴ ἁμαρτῆσαι λογιστέον. Ὡς γὰρ ὁ μοιχεῦσαι θέλων, μοιχός ἐστι, κἂν τοῦ μοιχεῦσαι μὴ ἐπιτύχῃ καὶ ὁ ποιῆσαι φόνον θέλων, ἀνδροφόνος ἐστί, κἂν μὴ δύνη-

τοῦ φονεῦσαι· οὕτως δὲ καὶ τὸν ἀναμάρτητον, ὃν λέγω, ἐὰν ἴδω πάσχοντα, κἂν μηδὲν ᾖ κακὸν πεπραχώς, κακὸν ἐρῶ τῷ θέλειν ἁμαρτάνειν. Πάντ' ἐρῶ γὰρ μᾶλλον, ἢ κακὸν τὸ προνοοῦν ἐρῶ.

Εἶθ' ὑποκαταβὰς καὶ περὶ τοῦ κυρίου ἄντικρυς, ὡς περὶ ἀνθρώπου λέγει·

Ἐὰν μέντοι παραλιπὼν τούτους ἅπαντας τοὺς λόγους, ἔλθῃς ἐπὶ τὸ δυσωπεῖν με, διά τινων προσώπων τινῶν, εἰ τύχοι, λέγων: ὁ δεῖνα οὖν ἥμαρτεν, ἔπαθεν γὰρ ὁ δεῖνα: ἐὰν μὲν ἐπιτρέπῃς, ἐρῶ: οὐχ ἥμαρτεν μὲν, ὅμοιος δὲ ἦν τῷ πάσχοντι νηπίῳ· εἰ μέντοι σφοδρότερον ἐκβιάζοιο τὸν λόγον, ἐρῶ, ἄνθρωπον, ὅντιν' ἂν ὀνομάσῃς, ἄνθρωπον εἶναι, δίκαιον δὲ τὸν Θεόν. Καθαρὸς γὰρ οὐδείς, ὥσπερ εἶπέ τις ἀπὸ ῥύπου.

(Strom. VI, 6.) Ἰσίδωρός τε, ὁ Βασιλείδου υἱὸς ἅμα καὶ μαθητὴς ἐν τῷ πρώτῳ τῶν προφητοῦ Πάρχωρ [3]) ἐξηγητικῶν, καὶ αὐτὸς κατὰ λέξιν γράφει· φασὶ δὲ οἱ Ἀττικοὶ μεμηνῦσθαί τινα Σωκράτει παρεπομένου δαίμονος αὐτῷ· καὶ Ἀριστοτέλης δαίμοσι κεχρῆσθαι πάντας ἀνθρώπους λέγει, συνομαρτοῦσιν αὐτοῖς παρὰ τὸν χρόνον τῆς ἐνσωματώσεως· προφητικὸν τοῦτο μάθημα λαβὼν καὶ καταθέμενος εἰς τὰ ἑαυτοῦ βιβλία, μὴ ὁμολογήσας ὅθεν ὑφείλετο τὸν λόγον τοῦτον.

---

3) Propheta Parchor ut infra prophetia Chami libri apocryphi sunt, quibus Basilidiani uti solebant.

Καὶ πάλιν ἐν τῷ δευτέρῳ τῆς αὐτῆς συντάξεως ὧδέ πως γράφει·

Καὶ μή τις οἰέσθω ὃ φαμεν ἴδιον εἶναι τῶν ἐκλεκτῶν, τοῦτο προειρημένον ὑπάρχειν ὑπό τινων φιλοσόφων· οὐ γάρ ἐστιν αὐτῶν εὕρημα· τῶν δὲ προφητῶν σφετερισάμενοι προσέθηκαν τῷ μὴ ὑπάρχοντι κατ' αὐτοὺς σοφῷ.

Αὖθίς τε ἐν τῷ αὐτῷ·

Καὶ γάρ μοι δοκεῖ τοὺς προσποιουμένους φιλοσοφεῖν, ἵνα μάθωσι τί ἐστιν ἡ ὑπόπτερος δρῦς καὶ τὸ ἐπ' αὐτῇ πεποικιλμένον φᾶρος, πάντα ὅσα Φερεκύδης ἀλληγορήσας ἐθεολόγησεν, λαβὼν ἀπὸ τῆς τοῦ Χαμ προφητείας [4].

De Valentino.

(Strom. II, 8.) Ἔοικε δὲ καὶ Οὐαλεντῖνος ἔν τινι ἐπιστολῇ τοιαῦτά τινα ἐν νῷ λαβών, αὐταῖς γὰρ γράφει ταῖς λέξεσι· καὶ ὡς περίφοβος ἐπ' ἐκείνου τοῦ πλάσματος ὑπῆρξε τοῖς ἀγγέλοις, ὅτε μείζονα ἐφθέγξατο τῆς πλάσεως διὰ τὸν ἀοράτως ἐν αὐτῷ σπέρμα δεδωκότα τῆς ἄνωθεν οὐσίας καὶ παῤῥησιαζόμενον; Οὕτω καὶ ἐν ταῖς γενεαῖς τῶν κοσμικῶν ἀνθρώπων, φόβοι τὰ ἔργα τῶν ἀνθρώπων τοῖς ποιοῦσιν ἐγένετο, οἷον ἀνδριάντες καὶ εἰκόνες· καὶ πάντων αἱ χεῖρες ἀνύουσιν, εἰς ὄνομα Θεοῦ· εἰς γὰρ ὄνομα Θεοῦ πλα-

---

4) Locus hic difficillimus est. Cf. Neander de gnosticor. system. p. 65.

αὖθις Ἀδὰμ φόβον παρέσχεν προόντος ἀνθρώπου, ὡς δὴ αὐτοῦ ἐν αὐτῷ καθεστῶτος, καὶ καταπλάγησαν καὶ ταχὺ τὸ ἔργον ἠφάνισαν.

(Strom. II, 20.) Οὐαλεντῖνος πρός τινας ἐπιστέλλων αὐταῖς λέξεσι γράφει περὶ τῶν προσαρτημάτων· εἷς δέ ἐστιν ἀγαθός, οὗ παῤῥησία ἡ διὰ τοῦ υἱοῦ φανέρωσις· καὶ δι' αὐτοῦ μόνου δύναιτο ἂν ἡ καρδία καθαρὰ γενέσθαι, παντὸς πονηροῦ πνεύματος ἐξωθουμένου τῆς καρδίας· πολλὰ γὰρ ἐνοικοῦντα αὐτῇ πνεύματα, οὐκ ἐᾷ καθαρεύειν· ἕκαστον δὲ αὐτῶν, τὰ ἴδια ἐκτελεῖ ἔργα, πολλαχῶς ἐνυβριζόντων ἐπιθυμίαις οὐ προσηκούσαις. Καὶ δοκεῖ μοι ὅμοιόν τι πάσχειν τῷ πανδοχείῳ ἡ καρδία· καὶ γὰρ ἐκεῖνο κατατιτρᾶταί τε καὶ ὀρύττεται καὶ πολλάκις κόπρου πίμπλαται, ἀνθρώπων ἀσελγῶς ἐμμενόντων καὶ μηδεμίαν πρόνοιαν ποιουμένων τοῦ χωρίου καθάπερ ἀλλοτρίου καθεστῶτος. Τὸν τρόπον τοῦτον καὶ ἡ καρδία, μέχρι μὴ προνοίας τυγχάνει, ἀκάθαρτος οὖσα, πολλῶν οὖσα δαιμόνων οἰκητήριον· ἐπειδὰν δὲ ἐπισκέψηται αὐτὴν ὁ μόνος ἀγαθὸς πατήρ, ἡγίασται καὶ φωτὶ διαλάμπει. Καὶ οὕτω μακαρίζεται ὁ ἔχων τὴν τοιαύτην καρδίαν, ὅτι ὄψεται τὸν Θεόν.

(Strom. III, 7.) Οὐαλεντῖνος ἐν τῇ πρὸς Ἀγαθόποδα ἐπιστολῇ: πάντα, φησίν, ὑπομείνας ἐγκρατὴς ἦν; θεότητα Ἰησοῦς εἰργάζετο· ἤσθιεν καὶ ἔπινεν ἰδίως, οὐκ ἀποδιδοὺς τὰ βρώματα. Τοσαύτη ἦν αὐτῷ ἐγκρατείας δύναμις, ὥστε καὶ μὴ φθαρῆναι τὴν τροφὴν ἐν αὐτῷ· ἐπεὶ τὸ φθείρεσθαι αὐτὸς οὐκ εἶχεν.

(Strom. IV, 13.) Οὐαλεντῖνος ἔν τινι ὁμιλίᾳ κατὰ λέξιν γράφει· ἀπ' ἀρχῆς ἀθάνατοί ἐστε καὶ τέκνα ζωῆς ἐστε αἰωνίας, καὶ τὸν θάνατον ἠθέλετε μερίσασθαι εἰς ἑαυτοὺς, ἵνα δαπανήσητε αὐτὸν καὶ ἀναλώσητε, καὶ ἀποθάνῃ ὁ θάνατος ἐν ὑμῖν καὶ δι' ὑμῶν. Ὅταν γὰρ τὸν μὲν κόσμον λύητε, ὑμεῖς δὲ μὴ καταλύησθε, κυριεύετε τῆς κτίσεως καὶ τῆς φθορᾶς ἁπάσης.

Ibid. Ὁπόσον ἐλάττων ἡ εἰκὼν τοῦ ζῶντος προσώπου, τοσοῦτον ἥσσων ὁ κόσμος τοῦ ζῶντος Αἰῶνος. Τίς οὖν αἰτία τοῦ εἰκόνος; μεγαλωσύνη τοῦ προσώπου, παρεσχημένου τῷ ζωγράφῳ τὸν τύπον, ἵνα τιμηθῇ δι' ὀνόματος αὐτοῦ· οὐ γὰρ αὐθεντικῶς εὑρέθη μορφὴ, ἀλλὰ τὸ ὄνομα ἐπλήρωσαν τὸ ὑστερῆσαν ἐν πλάσει· συνεργεῖ δὲ καὶ τὸ τοῦ Θεοῦ ἀόρατον εἰς πίστιν τοῦ πεπλασμένου.

(Strom. VI, 6.) Τῶν τὴν κοινότητα πρεσβευόντων [4]) ὁ κορυφαῖος Οὐαλεντῖνος, ἐν τῇ περὶ φίλων ὁμιλίᾳ κατὰ λέξιν γράφει· πολλὰ τῶν γεγραμμένων ἐν ταῖς δημοσίοις βίβλοις [5]), εὑρίσκεται γεγραμμένα ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· τὰ γὰρ κοινὰ ταῦτα ἐστι τὰ ἀπὸ καρδίας ῥήματα, νόμος ὁ γραπτὸς ἐν καρδίᾳ, οὗτός ἐστιν ὁ λαὸς ὁ τοῦ ἠγαπημένου, ὁ φιλούμενος καὶ φιλῶν αὐτόν.

4) Κοινότητα πρεσβεύοντες dicuntur, qui neque Judaeos neque gentiles a revelationibus divinis alienos esse sibi persuaserant.

5) Δημόσιοι βίβλοι hoc loco videntur esse gentilium libri, quos Tertullianus de testim. animae c. 1. litteras publicas vocat.

Ptolemaei ad Floram epistola.

(Ex Epiphanii haeres. XXXIII. c. 3. seqq.)

3. Τὸν διὰ Μωϋσέως τεθέντα νόμον, ἀδελφή μου καλὴ Φλώρα [6], ὅτι μὴ πολλοὶ προκατελάβοντο, μήτε τὸν θεμέλιον αὐτοῦ ἐγνωκότες, μήτε τὰς προστάξεις αὐτῶν, ἀκριβῶς ἡγοῦμαι καὶ σοὶ εὐσυνόπτον ἔσεσθαι, μαθούσης τὰς διαφωνούσας γνώμας περὶ αὐτοῦ. Οἱ μὲν γὰρ ὑπὸ τοῦ Θεοῦ καὶ πατρὸς νενομοθετῆσθαι τοῦτον λέγουσιν. Ἕτεροι δὲ ταύτοις τὴν ἐναντίαν ὁδὸν τραπέντες, ὑπὸ τοῦ ἀντικειμένου φθοροποιοῦ Διαβόλου τεθεῖσθαι τοῦτον ἰσχυρίζονται, ὡς καὶ τὴν τοῦ κόσμου προσάπτουσιν αὐτῷ δημιουργίαν, πατέρα καὶ ποιητὴν τοῦτον λέγοντες εἶναι. Τοῦτο δὲ τοῦ παντὸς διέπταισαν οὗτοι διαδόντες ἀλλήλοις, καὶ ἑκάτεροι αὐτῶν διαμαρτόντες παρὰ σφίσιν αὐτοῖς τῆς τοῦ προκειμένου ἀληθείας. Οὔτε γὰρ ὑπὸ τοῦ τελείου Θεοῦ καὶ πατρὸς φαίνεται τοῦτον τεθεῖσθαι (ἑπόμενος γάρ ἐστιν) ἀτελῆ τε ὄντα, καὶ τοῦ σφετέρου πληρωθῆναι ἐνδεῆ, ἔχοντά τε προστάξεις ἀνοικείας τῇ τοῦ τοιούτου Θεοῦ φύσει τε καὶ γνώμῃ· οὔτ᾽ αὖ πάλιν τῇ τοῦ ἀντικειμένου ἀδικίᾳ νόμον προσάπτειν ἀδικεῖν αἱροῦντος τῶν τε ἑξῆς τι μὴ συνορώντων τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα. Οἰκία γὰρ ἢ πόλις μερισθεῖσα ἐφ᾽ ἑαυτὴν ὅτι μὴ δύναται στῆναι, ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο. Ἔτι γε τὴν τοῦ κόσμου δη-

6) De Flora nihil nobis prodiderunt patres.

μιουργίαν ἰδίαν λέγει εἶναι, ὅτι πάντα δι' αὐτοῦ γεγονέναι καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδέν. Ὁ ἀπόστολος προαποστερήσας τὴν τῶν ψευδηγορούντων ἀνυπόστατον σοφίαν καὶ οὐ φθοροποιοῦ Θεοῦ, ἀλλὰ δικαίου καὶ μισοπονήρου. Ἀπρονοήτων δέ ἐστιν ἀνθρώπων τῆς προνοίας τοῦ δημιουργοῦ μὴ αἰτίαν λαμβανομένων καὶ μὴ μόνον τὸ τῆς ψυχῆς ὄμμα, ἀλλὰ καὶ τὸ τοῦ σώματος πεπηρωμένων. Οὗτοι μὲν οὖν ὡς διημαρτήκασι τῆς ἀληθείας, δῆλόν σοί ἐστιν ἐκ τῶν εἰρημένων. Πεπόνθασι δὲ τοῦτο ἰδίως ἑκάτερος αὐτῶν, οἱ μὲν διὰ τὸ ἀγνοεῖν τὸν τῆς δικαιοσύνης Θεόν, οἱ δὲ διὰ τὸ ἀγνοεῖν τὸν τῶν ὅλων πατέρα, ὃν μόνος ἐλθὼν ὁ μόνος εἰδὼς ἐφανέρωσε. Περιλείπεται δὲ ἡμῖν ἀξιωθεῖσί τε τῆς ἀμφοτέρων τούτων ἐκφῆναί σοι καὶ ἀκριβῶσαι αὐτόν τε τὸν νόμον, ποταπός τις εἴη, καὶ τὸν ὑφ' οὗ τέθειται τὸν νομοθέτην, ῥηθησομένων ἡμῖν τὰς ἀποδείξεις ἐκ τῶν τοῦ σωτῆρος ἡμῶν λόγων παριστῶντες, δι' ὧν μόνον ἐστὶν ἀπταίστως ἐπὶ τὴν κατάληψιν τῶν ὄντων ὁδηγεῖσθαι.

4. Πρῶτον οὖν μαθητέον ὅτι ὁ σύμπας ἐκεῖνος νόμος, ὁ περιεχόμενος τῇ Μωϋσέως Πεντατεύχῳ, οὐ πρὶν πρὸς ἑνός τινος νενομοθέτηται, λέγω δὴ οὐχ ὑπὸ μόνου Θεοῦ, ἀλλ' εἰσί τινες αὐτῶν προστάξεις καὶ ὑπ' ἀνθρώπων τεθεῖσαι· καὶ τριχῆ τοῦτον διαιρεῖσθαι οἱ τοῦ σωτῆρος λόγοι διδάσκουσιν ἡμᾶς. Εἴς τε γὰρ αὐτὸν τὸν Θεὸν καὶ τὴν τούτου νομοθεσίαν διαιρεῖται· δὲ καὶ εἰς τὸν Μωϋσέα, οὐ καθ' ἃ αὐτὸς δι' αὐτοῦ νομοθετεῖ ὁ Θεός, ἀλλὰ καθὰ ἀπὸ τῆς ἰδίας ἐννοίας ὁρμώ-

μενος καὶ ὁ Μωϋσῆς ἐνομοθέτησέ τινα· καὶ εἰς τοὺς πρεσβυτέρους τοῦ λαοῦ διαιρεῖται καὶ πρῶτοι εὑρίσκονται ἐντολάς τινας ἐνθέντες ἰδίας. Πῶς οὖν τοῦτο οὕτως ἔχον ἐκ τῶν τοῦ σωτῆρος δείκνυται λόγων, μάθοις δ' ἂν ἤδη. Διαλεγόμενός που ὁ σωτὴρ πρὸς τοὺς περὶ τοῦ ἀποστασίου συζητοῦντας αὐτῷ, ὃ δὴ ἀποστάσιον ἐξεῖναι ἐνενομοθέτητο, ἔφη αὐτοῖς· ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψε τὸ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ. Ἀπ' ἀρχῆς γὰρ οὐ γέγονεν οὕτως. Θεὸς γάρ, φησί, συνέζευξε ταύτην τὴν συζυγίαν· καὶ ὃ συνέζευξεν ὁ κύριος, ἄνθρωπος μὴ χωριζέτω, ἔφη. Ἐνταῦθα ἕτερον μὲν τοῦ Θεοῦ δείκνυσι νόμον, τὸν κωλύοντα χωρίζεσθαι γυναῖκα ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς, ἕτερον δὲ τὸν τοῦ Μωϋσέως, τὸν διὰ τὴν σκληροκαρδίαν ἐπιτρέποντα χωρίζεσθαι τοῦτο τὸ ζεῦγος. Καὶ δὴ κατὰ τοῦτο ἐναντία τῷ Θεῷ νομοθετεῖ ὁ Μωϋσῆς· ἐναντίον γάρ ἐστι τῷ μὴ διαζευγνύναι. Ἐὰν μέντοι καὶ τὴν τοῦ Μωϋσέως γνώμην, καθ' ἣν τοῦτο ἐνομοθέτησεν, ἐξετάσωμεν, εὑρεθήσεται τοῦτο οὐ κατὰ προαίρεσιν ποιήσας τὴν ἑαυτοῦ, ἀλλὰ κατὰ ἀνάγκην διὰ τὴν τῶν νενομοθετημένων ἀσθένειαν. Ἐπεὶ γὰρ τὴν τοῦ Θεοῦ γνώμην φυλάττειν οὐκ ἠδύναντο οὗτοι ἐν τῷ μὴ ἐξεῖναι αὐτοῖς ἐκβάλλειν τὰς γυναῖκας αὐτῶν, αἵτινες αὐτῶν ἀηδῶς συνῴκουν καὶ ἐκινδύνευον ἐκ τούτου ἐκτρέπεσθαι πλέον εἰς ἀδικίαν καὶ ἐκ ταύτης εἰς ἀπώλειαν, τὸ ἀηδὲς τοῦτο βουλόμενος ἐκκόψαι αὐτῶν ὁ Μωϋσῆς, δι' οὗ καὶ ἀπόλλυσθαι ἐκινδύνευον, δεύτερόν τινα ὡς κατὰ περίστασιν ἥττονα

κακὸν ἀντὶ μείζονος ἀντικαταλλασσόμενος, τὸν τοῦ ἀποστασίου νόμον ἀφ' ἑαυτοῦ ἐνομοθέτησεν αὐτοῖς· ἵνα ἐὰν ἐκεῖνον μὴ δύνωνται φυλάττειν, κἂν τοῦτόν γε φυλάξωσι καὶ μὴ εἰς ἀδικίας καὶ κακίας ἐκτραπῶσι, δι' ὧν ἀπώλεια αὐτοῖς ἔμελλε τελειοτάτη ἐπακολουθήσειν. Αὕτη μὲν ἡ τούτου γνώμη, καθ' ἣν ἀντινομοθετῶν εὑρίσκεται τῷ Θεῷ. Πλὴν ὅτι γε Μωϋσέως αὐτοῦ δείκνυται ἐνταῦθα ἕτερος ὢν παρὰ τὸν τοῦ Θεοῦ νόμον, ἀναμφισβήτητόν ἐστι, κἂν δι' ἑνὸς τὰ νῦν ὦμεν δεδειχότες. Ὅτι δὲ καὶ τῶν πρεσβυτέρων εἰσί τινες συμπεπλεγμέναι παραδόσεις ἐν τῷ νόμῳ, δηλοῖ καὶ τοῦτο ὁ σωτήρ. Ὁ γὰρ Θεός, φησίν, εἶπε, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. Ὑμεῖς δέ, φησίν, εἰρήκατε, τοῖς πρεσβυτέροις λέγων, δῶρον τῷ Θεῷ, ὃ ἐὰν ὠφεληθῇς ἐξ ἐμοῦ, καὶ ἠκυρώσατε τὸν νόμον τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων ὑμῶν. Τοῦτο δὲ Ἡσαΐας ἐξεφώνησεν, εἰπών· ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντας διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Σαφῶς οὖν ἐκ τούτων εἰς τρία διαιρούμενος ὁ σύμπας ἐκεῖνος δείκνυται νόμος. Μωϋσέως τε γὰρ αὐτοῦ καὶ τῶν πρεσβυτέρων καὶ αὐτοῦ τοῦ Θεοῦ εὕρομεν νομοθεσίαν ἐν αὐτῷ. Αὕτη μὲν οὖν ἡ διαίρεσις τοῦ σύμπαντος ἐκείνου νόμου ὧδε ἡμῖν διαιρεθεῖσα, τὸ ἐν αὐτῷ ἀληθὲς ἀναπέφαγκεν.

5. Πάλιν δὲ δὴ τὸ ἓν μέρος, ὁ αὐτοῦ τοῦ Θεοῦ νόμος, διαιρεῖται εἰς τρία τινά, εἴς τε τὴν

μενος καὶ ὁ Μωϋσῆς ἐνομοθέτησέ τινα· καὶ εἰς τοὺς πρεσβυτέρους τοῦ λαοῦ διαιρεῖται· καὶ πρῶτοι εὑρίσκονται ἐντολάς τινας ἐνθέντες ἰδίας. Πῶς οὖν τοῦτο οὕτως ἔχον ἐκ τῶν τοῦ σωτῆρος δείκνυται λόγων, μάθοις δ' ἂν ἤδη. Διαλεγόμενός που ὁ σωτὴρ πρὸς τοὺς περὶ τοῦ ἀποστασίου συζητοῦντας αὐτῷ, ὃ δὴ ἀποστάσιον ἐξεῖναι ἐνενομοθέτητο, ἔφη αὐτοῖς· ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψε τὸ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ. Ἀπ' ἀρχῆς γὰρ οὐ γέγονεν οὕτως. Θεὸς γὰρ, φησί, συνέζευξε ταύτην τὴν συζυγίαν· καὶ ὃ συνέζευξεν ὁ κύριος, ἄνθρωπος μὴ χωριζέτω, ἔφη. Ἐνταῦθα ἕτερον μὲν τοῦ Θεοῦ δείκνυσι νόμον, τὸν κωλύοντα χωρίζεσθαι γυναῖκα ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς, ἕτερον δὲ τὸν τοῦ Μωϋσέως, τὸν διὰ τὴν σκληροκαρδίαν ἐπιτρέποντα χωρίζεσθαι τοῦτο τὸ ζεῦγος. Καὶ δὴ κατὰ τοῦτο ἐναντία τῷ Θεῷ νομοθετεῖ ὁ Μωϋσῆς· ἐναντίον γάρ ἐστι τῷ μὴ διαζευγνύναι. Ἐὰν μέντοι καὶ τὴν τοῦ Μωϋσέως γνώμην, καθ' ἣν τοῦτο ἐνομοθέτησεν, ἐξετάσωμεν, εὑρεθήσεται τοῦτο οὐ κατὰ προαίρεσιν ποιήσας τὴν ἑαυτοῦ, ἀλλὰ κατὰ ἀνάγκην διὰ τὴν τῶν νενομοθετημένων ἀσθένειαν. Ἐπεὶ γὰρ τὴν τοῦ Θεοῦ γνώμην φυλάττειν οὐκ ἠδύναντο οὗτοι ἐν τῷ ... αὐ... ἐκβάλλειν τὰς ... ἀηδῶς συν... ...σθαι ... ...

κακὸν ἀντὶ μείζονος ἀντικαταλλασσόμενος, τὸν τοῦ ἀποστασίου νόμον ἀφ᾽ ἑαυτοῦ ἐνομοθέτησεν αὐτοῖς· ἵνα ἐὰν ἐκεῖνον μὴ δύνωνται φυλάττειν, κἂν τοῦτόν γε φυλάξωσι καὶ μὴ εἰς ἀδικίας καὶ κακίας ἐκτραπῶσι, δι᾽ ὧν ἀπώλεια αὐτοῖς ἔμελλε τελειοτάτη ἐπακολουθήσειν. Αὕτη μὲν ἡ τούτου γνώμη, καθ᾽ ἣν ἀντινομοθετῶν εὑρίσκεται τῷ Θεῷ. Πλὴν ὅτι γε Μωϋσέως αὐτοῦ δείκνυται ἐνταῦθα ἕτερος ὢν παρὰ τὸν τοῦ Θεοῦ νόμον, ἀναμφισβήτητόν ἐστι, κἂν δι᾽ ἑνὸς τὰ νῦν ὦμεν δεδειχότες. Ὅτι δὲ καὶ τῶν πρεσβυτέρων εἰσί τινες συμπεπλεγμέναι παραδόσεις ἐν τῷ νόμῳ, δηλοῖ καὶ τοῦτο ὁ σωτήρ. Ὁ γὰρ Θεός, φησίν, εἶπε, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. Ὑμεῖς δέ, φησίν, εἰρήκατε, τοῖς πρεσβυτέροις λέγων, δῶρον τῷ Θεῷ, ὃ ἐὰν ὠφεληθῇς ἐξ ἐμοῦ καὶ ἠκυρώσατε τὸν νόμον τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων ὑμῶν. Τοῦτο δὲ Ἡσαΐας ἐξεφώνησεν, εἰπών· ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ᾽ ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντας διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Σαφῶς οὖν ἐκ τούτων εἰς τρία διαιρούμενος ὁ σύμπας ἐκεῖνος δείκνυται νόμος. Μωϋσέ[illegible]τε γὰρ αὐτοῦ καὶ τῶν πρεσβυτέρων καὶ αὐ[illegible]τοῦ Θεοῦ εὕρομεν νομοθεσίαν ἐν αὐτῷ. Αὕτη [illegible]οὖν [illegible]διαίρεσις τοῦ σύμπαντος ἐκείνου νόμου [illegible]ρεθεῖσα, τὸ ἐν αὐτῷ ἀληθὲς ἀνα[illegible]

[illegible] δὲ δὴ τὸ ἓν μέρος, ὁ αὐτοῦ τοῦ [illegible]αιρεῖται εἰς τρία τινά, εἴς τε τὴν

καθαρὰν νομοθεσίαν, τὴν ἀσύμπλοκον τῷ κακῷ, ὃς καὶ κυρίως νόμος λέγεται, ὃν οὐκ ἦλθε καταλῦσαι ὁ σωτὴρ, ἀλλὰ πληρῶσαι. Οὐ γὰρ ἦν ἀλλότριος αὐτοῦ, ὃν ἐπλήρωσεν· οὐ γὰρ εἶχε τὸ τέλειον. Καὶ εἰς τὸ συμπεπλεγμένον τῷ χείρονι καὶ τὴν ἀδικίαν, ὃν ἀνεῖλεν ὁ σωτὴρ ἀνοίκειον ὄντα τῇ ἑαυτοῦ φύσει. Διαιρεῖται δὲ καὶ εἰς τὸ τυπικὸν καὶ συμβολικὸν τὸ κατ' εἰκόνα τῶν (κατ' εἰκόνα) διαφερόντων νομοθετηθέν· ὃ μετέθηκεν ὁ σωτὴρ ἀπὸ αἰσθητοῦ καὶ φαινομένου ἐπὶ τὸ πνευματικὸν καὶ ἀόρατον. Καί ἐστι μὲν ὁ τοῦ Θεοῦ νόμος ὁ καθαρὸς καὶ ἀσύμπλοκος τῷ χείρονι, αὐτὴ ἡ δεκάλογος, οἱ δέκα λόγοι ἐκεῖνοι οἱ ἐν ταῖς δυσὶ πλαξὶ δεδιχασμένοι, εἴς τε ἀναίρεσιν τῶν ἀφθέγκτων καὶ εἰς πρόσταξιν τῶν ποιητέων, οἳ καίπερ καθαρὰν ἔχοντες τὴν νομοθεσίαν, μὴ ἔχοντες δὲ τὸ τέλειον, ἐδέοντο τῆς παρὰ τοῦ σωτῆρος πληρώσεως. Ὁ δέ ἐστι συμπεπλεγμένος τῇ ἀδικίᾳ, οὗτος ὁ κατὰ τὴν ἄμυναν καὶ ἀνταπόδοσιν τῶν προαδικησάντων κείμενος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτεσθαι κελεύων, καὶ φόνον ἀντὶ φόνου ἀμύνασθαι. Οὐδὲν γὰρ ἧττον καὶ ὁ δεύτερος ἀδικῶν ἀδικεῖ, τῇ τάξει μόνον διαλλάσσων, τὸ αὐτὸ ἐργαζόμενος ἔργον. Τοῦτο δὲ πρόσταγμα δίκαιον μὲν ἄλλως καὶ ἦν καὶ ἔστι, διὰ τὴν ἀσθένειαν τῶν νομοθετηθέντων ἐν παρεκβάσει τοῦ καθαροῦ νόμου τεθέν. Ἀνοίκειον δὲ τῇ τοῦ πατρὸς τῶν ὅλων φύσει τε καὶ ἀγαθότητι· ἴσως δὲ τοῦτο κατάλληλον, ἐπάναγκες δὲ μᾶλλον. Ὁ γὰρ καὶ τὸν ἕνα φόνον οὐ βουλόμενος ἔσεσθαι ἐν τῷ

λέγων· οὐ φονεύσεις, προστάξας τὸν φονέα ἀντιφονεύεσθαι, δεύτερον νόμον νομοθετῶν, καὶ δυσὶ φόνοις βραβεύων ὁ τὸν ἕνα ἀπαγορεύσας, ἔλαθεν ἑαυτὸν ὑπ' ἀνάγκης κλαπείς. Διὸ δὴ ὁ ἀπ' ἐκείνου παραγενόμενος υἱός, τοῦτο τὸ μέρος τοῦ νόμου ἀνῄρηκεν, ὁμολογήσας καὶ αὐτὸς εἶναι τοῦ Θεοῦ. Ἐν δὲ τοῖς ἄλλοις καταριθμεῖται τῇ παλαιᾷ αἱρέσει, καὶ ἐν οἷς ἔφη ὁ Θεὸς εἰπών· ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. Τὸ δέ ἐστι μέρος αὐτοῦ τυπικόν, τὰ κατ' εἰκόνα τῶν πνευματικῶν καὶ διαφερόντως κείμενον, τὰ ἐν προσφοραῖς λέγω, καὶ περιτομῇ, καὶ σαββάτῳ, καὶ νηστείᾳ, καὶ πάσχα, καὶ ἀζύμοις, καὶ τοῖς τοιούτοις νομοθετηθέντα. Πάντα γὰρ ταῦτα εἰκόνες καὶ σύμβολα ὄντα τῆς ἀληθείας, φανερωθείσης μετετέθη, κατὰ μὲν τὸ φαινόμενον καὶ σωματικῶς ἐκπληροῦσθαι, ἀνῃρέθη, κατὰ δὲ τὸ πνευματικὸν ἀνελήφθη, τῶν μὲν ὀνομάτων τῶν αὐτῶν μενόντων, ἐνηλλαγμένων δὲ τῶν πραγμάτων. Καὶ γὰρ προσφορὰς προσφέρειν προσέταξεν ἡμῖν ὁ σωτήρ· ἀλλ' οὐχὶ τὰς δι' ἀλόγων ζώων, ἢ τούτων τῶν θυμιαμάτων, ἀλλὰ διὰ πνευματικῶν αἴνων καὶ δοξῶν καὶ εὐχαριστίας, καὶ διὰ τῆς εἰς τοὺς πλησίον κοινωνίας καὶ εὐποιΐας. Καὶ περιτομὴν περιτετμῆσθαι ἡμᾶς βούλεται, ἀλλ' οὐχὶ τῆς ἀκροβυστίας τῆς σωματικῆς, ἀλλὰ καρδίας τῆς πνευματικῆς. Καὶ τὸ σάββατον φυλάσσειν· ἀργεῖν γὰρ θέλει ἡμᾶς ἀπὸ τῶν ἔργων τῶν πονηρῶν. Καὶ νηστεύειν δέ, ἀλλ' οὐ τὴν σωματικὴν βούλεται νηστείαν ἡμᾶς νηστεύειν, ἀλλὰ τὴν πνευματικήν, ἐν ᾗ ἐστιν ἀποχὴ πάντων τῶν

φαῦλον. Φυλάσσεται μέντοι γε καὶ παρὰ τοῖς ἡμετέροις ἡ κατὰ τὸ φαινόμενον νηστεία, ἐπεὶ καὶ ψυχῇ τι συμβάλλεσθαι δύναται, αὕτη μετὰ λόγου γινομένη, ὁπότε μήτε διὰ τὴν πρός τινας μίμησιν γίνεται, μήτε διὰ τὸ ἔθος, μήτε διὰ τὴν ἡμέραν, ὡς ὡρισμένης τοῦτο ἡμέρας· ἅμα δὲ καὶ εἰς ἀνάμνησιν τῆς ἀληθινῆς νηστείας, ἵνα οἱ μηδέπω ἐκείνην δυνάμενοι νηστεύειν, ἀπὸ τῆς κατὰ τὸ φαινόμενον νηστείας ἔχωσι τὴν ἀνάμνησιν αὐτῆς. Καὶ τὸ πάσχα δὲ ὁμοίως, καὶ τὰ ἄζυμα, ὅτι εἰκόνες ἦσαν, δηλοῖ καὶ Παῦλος ὁ ἀπόστολος· τὸ δὲ πάσχα ἡμῶν, λέγεται, ἐτύθη Χριστός, καὶ ἵνα ἦτε, φησίν, ἄζυμοι, μὴ μετέχοντες ζύμης (ζύμην δὲ νῦν τὴν κακίαν λέγει) ἀλλ᾽ ἦτε νέον φύραμα.

6. Οὗτος γοῦν καὶ αὐτὸς ὁ τοῦ Θεοῦ εἶναι νόμος ὁμολογούμενος εἰς τρία διαιρεῖται, εἴς τε τὸ πληρούμενον ἀπὸ τοῦ σωτῆρος. Τὸ γὰρ οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐκ ἐπιορκήσεις, ἐν τῷ μηδ᾽ ὀργισθῆναι μηδὲ ἐπιθυμῆσαι περιείληπται· διαιρεῖται δὲ καὶ εἰς τὸ ἀναιρούμενον τελείως· τὸ γὰρ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, συμπεπλεγμένον τῇ ἀδικίᾳ καὶ αὐτὸ ἔργον τῆς ἀδικίας ἔχον, ἀνῃρέθη ὑπὸ τοῦ σωτῆρος διὰ τῶν ἐναντίων. Τὰ δὲ ἐναντία ἀλλήλων εἰσὶν ἀναιρετικά· Ἐγὼ γὰρ λέγω ὑμῖν μὴ ἀντιστῆναι ὅλως τῷ πονηρῷ, ἀλλὰ ἐάν τίς σε ῥαπίσῃ, στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα. Διαιρεῖται δὲ καὶ εἰς τὸ μετατεθὲν καὶ ἀλλαγὲν ἀπὸ τοῦ σωματικοῦ ἐπὶ τὸ πνευματικόν, τὸ συμβολικὸν τοῦτο, κατ᾽ εἰκόνα τῶν διαφερόντων

νενομοθετημένων. Αἱ γὰρ εἰκόνες καὶ τὰ σύμβολα, παραστατικὰ ὄντα ἑτέρων πραγμάτων, καλῶς ἐγίνοντο, μέχρι μὴ παρῆν ἡ ἀλήθεια· Παρούσης δὲ τῆς ἀληθείας, τὰ τῆς ἀληθείας δεῖ ποιεῖν, οὐ τὰ τῆς εἰκόνος. Ταῦτα δὲ καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ ὁ ἀπόστολος ἔδειξε Παῦλος, τὰ μὲν τῶν εἰκόνων, ὡς ἤδη εἴπομεν, διὰ τοῦ πάσχα καὶ τῶν ἀζύμων δείξας δι' ἡμᾶς· τὸ δὲ τοῦ συμπεπλεγμένου νόμου τῇ ἀδικίᾳ, εἰπὼν τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι κατηργῆσθαι· τὸ δὲ τοῦ ἀσυμπλόκου τῷ χείρονι, ὁ μὲν νόμος, εἰπὼν, ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

7. Ὡς μὲν οὖν συντόμως ἐστὶν εἰπεῖν, αὐτάρκως οἶμαί σοι δεδεῖχθαι, καὶ τὴν ἐξ ἀνθρώπων παρεισδύσασαν νομοθεσίαν, καὶ αὐτὸν τὸν τοῦ Θεοῦ νόμον τριχῆ διαιρούμενον. Περιλείπεται δὲ ἡμῖν, τί ποτέ ἐστιν οὗτος ὁ Θεὸς, ὁ τὸν νόμον θέμενος. Ἀλλὰ καὶ τοῦτο ἡγοῦμαί σοι δεδεῖχθαι, ἐπὶ τῶν προειρημένων, εἰ ἐπιμελῶς ἀκήκοας. Εἰ γὰρ μήτε ὑπ' αὐτοῦ τοῦ τελείου Θεοῦ τέθειται οὗτος, ὡς ἐδιδάξαμεν, μήτε μὴν ὑπὸ τοῦ Διαβόλου, ὃ μηδὲ θεμιτόν ἐστιν εἰπεῖν, ἕτερός τίς ἐστι παρὰ τούτους οὗτος ὁ θέμενος τὸν νόμον. Οὗτος δὲ δημιουργὸς καὶ ποιητὴς τοῦδε τοῦ παντός ἐστι κόσμου καὶ τῶν ἐν αὐτῷ, ἕτερος ὢν παρὰ τὰς τούτων οὐσίας, μέσος τούτων καθεστὼς, ἐνδίκως καὶ τὸ τῆς μεσότητος ὄνομα ἀποφέροιτο ἄν. Καὶ εἰ ὁ τέλειος Θεὸς ἀγαθός ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν, ὥσπερ καὶ ἔστιν, (ἕνα γὰρ μόνον εἶναι ἀγαθὸν Θεὸν τὸν ἑαυτοῦ πατέρα ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο, ὃν αὐτὸς ἐφα-

τέρωσιν), ἔστι δὲ καὶ ὁ τῆς τοῦ ἀντικειμένου φύσεως, κακός τε καὶ πονηρὸς ἐν ἀδικίᾳ χαρακτηριζόμενος. Τούτων δὲ οὖν μέσος καθεστὼς καὶ μήτε ἀγαθὸς ὤν, μήτε μὴν κακὸς μήτε ἄδικος, ἰδίως τε λεχθείη ἂν δίκαιος, τῆς κατ' αὐτὸν δικαιοσύνης ὢν βραβευτής. Καὶ ἔσται μὲν καταδεέστερος τοῦ τελείου Θεοῦ καὶ τῆς ἐκείνου δικαιοσύνης ἐλάττων οὗτος ὁ Θεός, ἅτε δὴ καὶ γεννητὸς ὢν καὶ οὐκ ἀγέννητος. Εἷς γάρ ἐστιν ἀγέννητος ὁ πατήρ, ἐξ οὗ τὰ πάντα ἰδίως, τῶν πάντων ἠρτημένων ἀπ' αὐτοῦ. Μείζων δὲ καὶ κυριώτερος τοῦ ἀντικειμένου γενήσεται καὶ ἑτέρας οὐσίας τε καὶ φύσεως πεφυκὼς παρὰ τὴν ἑκατέρων τούτων οὐσίαν. Τοῦ μὲν γὰρ ἀντικειμένου ἐστὶν ἡ οὐσία, φθορά τε καὶ σκότος· ὑλικὸς γὰρ οὗτος καὶ πολυσχεδής. Τοῦ δὲ πατρὸς τῶν ὅλων τοῦ ἀγεννήτου ἡ οὐσία ἐστὶν ἀφθαρσία τε καὶ φῶς αὐτόον, ἁπλοῦν τε καὶ μονοειδές. Ἡ δὲ τούτων οὐσία διττὴν μέν τινα δύναμιν προήγαγεν, αὐτὸς δὲ τοῦ κρείττονός ἐστιν εἰκών. Μηδέ σε τὰ νῦν τοῦτο θορυβείτω, θέλουσαν μαθεῖν, πῶς ἀπὸ μιᾶς ἀρχῆς τῶν ὅλων οὔσης καὶ ὁμολογουμένης ἡμῖν καὶ πεπιστευμένης, τοῦ ἀγεννήτου καὶ ἀφθάρτου καὶ ἀγαθῆς; συνέστησαν καὶ αὗται αἱ φύσεις, ἥτε τῆς φθορᾶς καὶ τῆς μεσότητος, ἀνομοούσιαι αὗται καθεστῶσαι· τοῦ ἀγαθοῦ φύσιν ἔχοντος τὰ ὅμοια ἑαυτοῦ καὶ ὁμοούσια γεννᾶν τε καὶ προφέρειν. Μαθήσῃ γάρ, Θεοῦ διδόντος, ἑξῆς καὶ τὴν τούτου ἀρχήν τε καὶ γέννησιν, ἀξιουμένη τῆς ἀποστολικῆς παραδόσεως, ἣν ἐκ διαδοχῆς καὶ ἡμεῖς παρειλήφαμεν, μετὰ καὶ τοῦ κα-

(Strom. IV, 13.) Οὐαλεντῖνος δέ ἔν τινι ὁμιλίᾳ κατὰ λέξιν γράφει· ἀπ' ἀρχῆς ἀθάνατοί ἐστε καὶ τέκνα ζωῆς ἐστε αἰωνίας, καὶ τὸν θάνατον ἠθέλετε μερίσασθαι εἰς ἑαυτούς, ἵνα δαπανήσητε αὐτὸν καὶ ἀναλώσητε, καὶ ἀποθάνῃ ὁ θάνατος ἐν ὑμῖν καὶ δι' ὑμῶν. Ὅταν γὰρ τὸν μὲν κόσμον λύητε, ὑμεῖς δὲ μὴ καταλύησθε, κυριεύετε τῆς κτίσεως καὶ τῆς φθορᾶς ἁπάσης.

Ibid. Ὁπόσον ἐλάττων ἡ εἰκὼν τοῦ ζῶντος προσώπου, τοσοῦτον ἥσσων ὁ κόσμος τοῦ ζῶντος Αἰῶνος. Τίς οὖν αἰτία τοῦ εἰκόνος; μεγαλωσύνη τοῦ προσώπου, παρεσχημένου τῷ ζωγράφῳ τὸν τύπον, ἵνα τιμηθῇ δι' ὀνόματος αὐτοῦ· οὐ γὰρ αὐθεντικῶς εὑρέθη μορφή, ἀλλὰ τὸ ὄνομα ἐπλήρωσεν τὸ ὑστερῆσαν ἐν πλάσει· συνεργεῖ δὲ καὶ τὸ τοῦ Θεοῦ ἀόρατον εἰς πίστιν τοῦ πεπλασμένου.

(Strom. VI, 6.) Τῶν τὴν κοινότητα πρεσβευόντων [4]) ὁ κορυφαῖος Οὐαλεντῖνος, ἐν τῇ περὶ φίλων ὁμιλίᾳ κατὰ λέξιν γράφει· πολλὰ τῶν γεγραμμένων ἐν ταῖς δημοσίοις βίβλοις [5]), εὑρίσκεται γεγραμμένα ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· τὰ γὰρ κοινὰ ταῦτα ἐστι τὰ ἀπὸ καρδίας ῥήματα, νόμος ὁ γραπτὸς ἐν καρδίᾳ, οὗτός ἐστιν ὁ λαὸς ὁ τοῦ ἠγαπημένου, ὁ φιλούμενος καὶ φιλῶν αὐτόν.

4) Κοινότητα πρεσβεύοντες dicuntur, qui neque Judaeos neque gentiles a revelationibus divinis alienos esse sibi persuaserant.

5) Δημόσιοι βίβλοι hoc loco videntur esse gentilium libri, quos Tertullianus de testim. animae c. 1. litteras publicas vocat.

Ptolemaei ad Floram epistola.

(Ex Epiphanii haeres. XXXIII. §. 3. sqq.)

3. Τὸν διὰ Μωϋσέως τεθέντα νόμον, ἀδελφή μου καλὴ Φλώρα [6]), ὅτι μὴ πολλοὶ προκατελάβοντο, μήτε τὸν θεμέλιον αὐτὸν ἐγνωκότες, μήτε τὰς προστάξεις αὐτῶν, ἀκριβῶς ἡγοῦμαι καὶ σοὶ εὐσυνόπτον ἔσεσθαι, μαθούσῃς τὰς διαφωνούσας γνώμας περὶ αὐτοῦ. Οἱ μὲν γὰρ ὑπὸ τοῦ Θεοῦ καὶ πατρὸς νενομοθετῆσθαι τοῦτοις λέγουσιν. Ἕτεροι δὲ τούτοις τὴν ἐναντίαν ὁδὸν τραπέντες, ὑπὸ τοῦ ἀντικειμένου φθοροποιοῦ Διαβόλου τεθεῖσθαι τοῦτον ἰσχυρίζονται, ὡς καὶ τὴν τοῦ κόσμου προσάπτουσιν αὐτῷ δημιουργίαν, πατέρα καὶ ποιητὴν τοῦτον λέγοντες εἶναι. Τοῦτο δὲ τοῦ παντὸς διέπταισαν οὗτοι διαδόντες ἀλλήλοις, καὶ ἑκάτεροι αὐτῶν διαμαρτόντες παρὰ σφίσιν αὐτοῖς τῆς τοῦ προκειμένου ἀληθείας· οὔτε γὰρ ὑπὸ τοῦ τελείου Θεοῦ καὶ πατρὸς φαίνεται τοῦτον τεθεῖσθαι (ἑπόμενος γάρ ἐστιν) ἀτελῆ τε ὄντα, καὶ τοῦ σφετέρου πληρωθῆναι ἐνδεῆ, ἔχοντά τε προστάξεις ἀνοικείας τῇ τοῦ τοιούτου Θεοῦ φύσει τε καὶ γνώμῃ· οὔτ᾽ αὖ πάλιν τῇ τοῦ ἀντικειμένου ἀδικίᾳ νόμον προσάπτειν ἀδικεῖν αἱροῦντος τῶν τε ἑξῆς τι μὴ συνορώντων τὰ ὑπὸ τοῦ σωτῆρος εἰρημένα. Οἰκία γὰρ ἢ πόλις μερισθεῖσα ἐφ᾽ ἑαυτὴν ὅτι μὴ δύναται στῆναι, ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο. Ἔτι γε τὴν τοῦ κόσμου δη-

6) De Flora nihil nobis prodiderunt patres.

μουργίαν ἰδίαν λέγει εἶναι, ἅτε πάντα δι' αὐτοῦ γεγονέναι καὶ χωρὶς αὐτοῦ γέγονεν οὐδέν. Ὁ ἀπόστολος προαποστερήσας τὴν τῶν ψευδηγορούντων ἀνυπόστατον σοφίαν καὶ οὐ φθοροποιοῦ Θεοῦ, ἀλλὰ δικαίου καὶ μισοπονήρου. Ἀπρονοήτων δέ ἐστιν ἀνθρώπων τῆς προνοίας τοῦ δημιουργοῦ μὴ αἰτίαν λαμβανομένων καὶ μὴ μόνον τὸ τῆς ψυχῆς ὄμμα, ἀλλὰ καὶ τὸ τοῦ σώματος πεπηρωμένων. Οὗτοι μὲν οὖν ὡς διημαρτήκασι τῆς ἀληθείας, δῆλόν σοί ἐστιν ἐκ τῶν εἰρημένων. Πεπόνθασι δὲ τοῦτο ἰδίως ἑκάτερος αὐτῶν, οἱ μὲν διὰ τὸ ἀγνοεῖν τὸν τῆς δικαιοσύνης Θεόν, οἱ δὲ διὰ τὸ ἀγνοεῖν τὸν τῶν ὅλων πατέρα, ὃν μόνος ἐλθὼν ὁ μόνος εἰδὼς ἐφανέρωσε. Περιλείπεται δὲ ἡμῖν ἀξιωθεῖσί τε τῆς ἀμφοτέρων τούτων ἐκφῆναί σοι καὶ ἀκριβῶσαι αὐτόν τε τὸν νόμον, ποταπός τις εἴη, καὶ τὸν ὑφ' οὗ τέθειται τὸν νομοθέτην, ῥηθησομένων ἡμῖν τὰς ἀποδείξεις ἐκ τῶν τοῦ σωτῆρος ἡμῶν λόγων παριστῶντες, δι' ὧν μόνον ἐστὶν ἀπταίστως ἐπὶ τὴν κατάληψιν τῶν ὄντων ὁδηγεῖσθαι.

4. Πρῶτον οὖν μαθητέον ὅτι ὁ σύμπας ἐκεῖνος νόμος, ὁ περιεχόμενος τῇ Μωϋσέως Πεντατεύχῳ, οὐ πρὶν πρὸς ἑνός τινος νενομοθέτηται, λέγω δὴ οὐχ ὑπὸ μόνου Θεοῦ· ἀλλ' εἰσί τινες αὐτῶν προςτάξεις καὶ ὑπ' ἀνθρώπων τεθεῖσαι· καὶ τριχῆ τοῦτον διαιρεῖσθαι οἱ τοῦ σωτῆρος λόγοι διδάσκουσιν ἡμᾶς. Εἴς τε γὰρ αὐτὸν τὸν Θεὸν καὶ τὴν τούτου νομοθεσίαν· διαιρεῖται δὲ καὶ εἰς τὸν Μωϋσέα, οὐ κατ' αὐτὸ δι' αὐτοῦ νομοθετεῖ ὁ Θεός· ἀλλὰ καθὰ ἀπὸ τῆς ἰδίας ἐννοίας ὁρμώ-

μενος καὶ ὁ Μωϋσῆς ἐνομοθέτησέ τινα, καὶ τοὺς πρεσβυτέρους τοῦ λαοῦ διαιρεῖται· καὶ πρῶτοι εὑρίσκονται ἐντολάς τινας ἐνθέντες ἰδίας. Πῶς οὖν τοῦτο οὕτως ἔχον ἐκ τῶν τοῦ σωτῆρος δείκνυται λόγων, μάθοις δ' ἂν ἤδη. Διαλεγόμενός που ὁ σωτὴρ πρὸς τοὺς περὶ τοῦ ἀποστασίου συζητοῦντας αὐτῷ, ὃ δὴ ἀποστάσιον ἐξεῖναι ἐνενομοθέτητο, ἔφη αὐτοῖς· ὅτι Μωϋσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψε τὸ ἀπολύειν τὴν γυναῖκα αὐτοῦ. Ἀπ' ἀρχῆς γὰρ οὐ γέγονεν οὕτως. Θεὸς γάρ, φησί, συνέζευξε ταύτην τὴν συζυγίαν· καὶ ὃ συνέζευξεν ὁ κύριος, ἄνθρωπος μὴ χωριζέτω, ἔφη. Ἐνταῦθα, ἕτερον μὲν τοῦ Θεοῦ δείκνυσι νόμον, τὸν κωλύοντα χωρίζεσθαι γυναῖκα ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς, ἕτερον δὲ τὸν τοῦ Μωϋσέως, τὸν διὰ τὴν σκληροκαρδίαν ἐπιτρέποντα χωρίζεσθαι τοῦτο τὸ ζεῦγος. Καὶ δὴ κατὰ τοῦτο ἐναντία τῷ Θεῷ νομοθετεῖ ὁ Μωϋσῆς· ἐναντίον γάρ ἐστι τῷ μὴ διαζευγνύναι. Ἐὰν μέντοι καὶ τὴν τοῦ Μωϋσέως γνώμην, καθ' ἣν τοῦτο ἐνομοθέτησεν, ἐξετάσωμεν, εὑρεθήσεται τοῦτο οὐ κατὰ προαίρεσιν ποιήσας τὴν ἑαυτοῦ, ἀλλὰ κατὰ ἀνάγκην διὰ τὴν τῶν νενομοθετημένων ἀσθένειαν. Ἐπεὶ γὰρ τὴν τοῦ Θεοῦ γνώμην φυλάττειν οὐκ ἠδύναντο οὗτοι ἐν τῷ μὴ ἐξεῖναι αὐτοῖς ἐκβάλλειν τὰς γυναῖκας αὐτῶν, αἵτινες αὐτῶν ἀηδῶς συνῴκουν καὶ ἐκινδύνευον ἐκ τούτου ἐκτρέπεσθαι πλέον εἰς ἀδικίαν καὶ ἐκ ταύτης εἰς ἀπώλειαν, τὸ ἀηδὲς τοῦτο βουλόμενος ἐκκόψαι αὐτῶν ὁ Μωϋσῆς, δι' οὗ καὶ ἀπόλλυσθαι ἐκινδύνευον, δεύτερόν τινα ὡς κατὰ περίστασιν ἥττω

εκὸν ἀντὶ μείζονος ἀντικαταλλασσόμενος, τὸν τοῦ ἀποστασίου νόμον ἀφ' ἑαυτοῦ ἐνομοθέτησεν αὐτοῖς, ἵνα ἐὰν ἐκεῖνον μὴ δύνωνται φυλάττειν, τοῦτόν γε φυλάξωσι καὶ μὴ εἰς ἀδικίας καὶ κακίας ἐκτραπῶσι, δι' ὧν ἀπώλεια αὐτοῖς ἔμελλε τελειοτάτη ἐπακολουθήσειν. Αὕτη μὲν ἡ τούτου γνώμη, καθ' ἣν ἀντινομοθετῶν εὑρίσκεται τῷ Θεῷ: Πλὴν ὅτι γε Μωϋσέως αὐτοῦ δείκνυται ἐνταῦθα ἕτερος ὢν παρὰ τὸν τοῦ Θεοῦ νόμον, ἀναμφισβήτητόν ἐστι, κἂν δι' ἑνὸς τὰ νῦν ὦμεν δεδειχότες. Ὅτι δὲ καὶ τῶν πρεσβυτέρων εἰσί τινες συμπεπλεγμέναι παραδόσεις ἐν τῷ νόμῳ, δηλοῖ καὶ τοῦτο ὁ σωτήρ. Ὁ γὰρ Θεός, φησίν, εἶπε, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται. Ὑμεῖς δέ, φησίν, εἰρήκατε, τοῖς πρεσβυτέροις λέγων, δῶρον τῷ Θεῷ, ὃ ἐὰν ὠφεληθῇς ἐξ ἐμοῦ, καὶ ἠκυρώσατε τὸν νόμον τοῦ Θεοῦ, διὰ τὴν παράδοσιν τῶν πρεσβυτέρων ὑμῶν. Τοῦτο δὲ Ἡσαΐας ἐξεφώνησεν, εἰπών· ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας, ἐντάλματα ἀνθρώπων. Σαφῶς οὖν ἐκ τούτων εἰς τρία διαιρούμενος ὁ σύμπας ἐκεῖνος δείκνυται νόμος. Μωϋσέως τε γὰρ αὐτοῦ καὶ τῶν πρεσβυτέρων καὶ αὐτοῦ τοῦ Θεοῦ εὕρομεν νομοθεσίαν ἐν αὐτῷ. Αὕτη μὲν οὖν ἡ διαίρεσις τοῦ σύμπαντος ἐκείνου νόμου ὧδε ἡμῖν διαιρεθεῖσα, τὸ ἐν αὐτῷ ἀληθὲς ἀναπέφαγκεν.

5. Πάλιν δὲ δὴ τὸ ἓν μέρος, ὁ αὐτοῦ τοῦ Θεοῦ νόμος, διαιρεῖται εἰς τρία τινά, εἴς τε τὴν

καθαρὰν νομοθεσίαν, τὴν ἀσύμπλοκον τῷ κακῷ, ὃς καὶ κυρίως νόμος λέγεται, ὃν οὐκ ἦλθε καταλῦσαι ὁ σωτὴρ, ἀλλὰ πληρῶσαι. Οὐ γὰρ ἦν ἀλλότριος αὐτοῦ, ὃν ἐπλήρωσεν· οὐ γὰρ εἶχε τὸ τέλειον. Καὶ εἰς τὸ συμπεπλεγμένον τῷ χείρονι καὶ τὴν ἀδικίαν, ὃν ἀνεῖλεν ὁ σωτὴρ ἀνοίκειον ὄντα τῇ ἑαυτοῦ φύσει. Διαιρεῖται δὲ καὶ εἰς τὸ τυπικὸν καὶ συμβολικὸν τὸ κατ' εἰκόνα τῶν (κατ' εἰκόνα) διαφερόντων νομοθετηθέν· ὃ μετέθηκεν ὁ σωτὴρ ἀπὸ αἰσθητοῦ καὶ φαινομένου ἐπὶ τὸ πνευματικὸν καὶ ἀόρατον. Καί ἐστι μὲν ὁ τοῦ Θεοῦ νόμος ὁ καθαρὸς καὶ ἀσύμπλοκος τῷ χείρονι, αὐτὴ ἡ δεκάλογος, οἱ δέκα λόγοι ἐκεῖνοι, οἱ ἐν ταῖς δυσὶ πλαξὶ δεδιχασμένοι, εἴς τε ἀναίρεσιν τῶν ἀφθέγκτων καὶ εἰς πρόσταξιν τῶν ποιητέων, οἳ καίπερ καθαρὰν ἔχοντες τὴν νομοθεσίαν, μὴ ἔχοντες δὲ τὸ τέλειον, ἐδέοντο τῆς παρὰ τοῦ σωτῆρος πληρώσεως. Ὁ δέ ἐστι συμπεπλεγμένος τῇ ἀδικίᾳ, οὗτος ὁ κατὰ τὴν ἄμυναν καὶ ἀνταπόδοσιν τῶν προαδικησάντων κείμενος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος ἐκκόπτεσθαι κελεύων, καὶ φόνον ἀντὶ φόνου ἀμύνασθαι. Οὐδὲν γὰρ ἧττον καὶ ὁ δεύτερος ἀδικῶν ἀδικεῖ, τῇ τάξει μόνον διαλλάσσων, τὸ αὐτὸ ἐργαζόμενος ἔργον. Τοῦτο δὲ τὸ πρόσταγμα δίκαιον μὲν ἄλλως καὶ ἦν καὶ ἔστι, διὰ τὴν ἀσθένειαν τῶν νομοθετηθέντων ἐν παρεκβάσει τοῦ καθαροῦ νόμου τεθέν. Ἀνοίκειον δὲ τῇ τοῦ πατρὸς τῶν ὅλων φύσει τε καὶ ἀγαθότητι· ἴσως δὲ τοῦτο κατάλληλον, ἐπάναγκες δὲ μᾶλλον. Ὁ γὰρ καὶ τὸν ἕνα φόνον οὐ βουλόμενος ἔσεσθαι ἐν τῷ

λέγων· οὐ φονεύσεις, προστάξας τὸν φονέα ἀντιφονεύεσθαι, δεύτερον νόμον νομοθετῶν, καὶ δυσὶ φόνοις βραβεύων ὁ τὸν ἕνα ἀπαγορεύσας, ἔλαθεν ἑαυτὸν ὑπ' ἀνάγκης κλαπείς. Διὰ δὴ ὁ ἀπ' ἐκείνου παραγενόμενος υἱός, τοῦτο τὸ μέρος τοῦ νόμου ἀνῄρηκεν, ὁμολογήσας καὶ αὐτὸς εἶναι τοῦ Θεοῦ. Ἐν δὲ τοῖς ἄλλοις καταριθμεῖται τῇ παλαιᾷ αἱρέσει, καὶ ἐν οἷς ἔφη ὁ Θεὸς εἰπών· ὁ κακολογῶν πατέρα ἢ μητέρα, θανάτῳ τελευτάτω. Τὸ δέ ἐστι μέρος αὐτοῦ τυπικόν, τὸ κατ' εἰκόνα τῶν πνευματικῶν καὶ διαφερόντως κείμενον, τὰ ἐν προσφοραῖς, λέγω, καὶ περιτομῇ, καὶ σαββάτῳ, καὶ νηστείᾳ, καὶ πάσχα, καὶ ἀζύμοις, καὶ τοῖς τοιούτοις νομοθετηθέντα. Πάντα γὰρ ταῦτα εἰκόνες καὶ σύμβολα ὄντα τῆς ἀληθείας φανερωθείσης μετετέθη, κατὰ μὲν τὸ φαινόμενον καὶ σωματικῶς ἐκτελεῖσθαι ἀνῃρέθη, κατὰ δὲ τὸ πνευματικὸν ἀνελήφθη· τῶν μὲν ὀνομάτων τῶν αὐτῶν μενόντων, ἐνηλλαγμένων δὲ τῶν πραγμάτων. Καὶ γὰρ προσφορὰς προσφέρειν προσέταξεν ἡμῖν ὁ σωτήρ· ἀλλ' οὐχὶ τὰς δι' ἀλόγων ζώων, ἢ τούτων τῶν θυμιαμάτων, ἀλλὰ διὰ πνευματικῶν αἴνων καὶ δοξῶν καὶ εὐχαριστίας, καὶ διὰ τῆς εἰς τοὺς πλησίον κοινωνίας καὶ εὐποιίας. Καὶ περιτομὴν περιτετμῆσθαι ἡμᾶς βούλεται, ἀλλ' οὐχὶ τῆς ἀκροβυστίας τῆς σωματικῆς, ἀλλὰ καρδίας τῆς πνευματικῆς. Καὶ τὸ σάββατον φυλάσσειν· ἀργεῖν γὰρ θέλει ἡμᾶς ἀπὸ τῶν ἔργων τῶν πονηρῶν. Καὶ νηστεύειν δέ, ἀλλ' οὐ τὴν σωματικὴν βούλεται νηστείαν ἡμᾶς νηστεύειν, ἀλλὰ τὴν πνευματικήν, ἐν ᾗ ἐστιν ἀποχὴ πάντων τῶν

φυλάσσειν. Φυλάσσεσθαι μέντοι γε καὶ παρὰ τοῖς ἡμετέροις ἡ κατὰ τὸ φαινόμενον νηστεία· ἐπεὶ καὶ ψυχῇ τι συμβάλλεσθαι δύναται, αὕτη μετὰ λόγου γινομένη, ὁπότε μήτε διὰ τὴν πρός τινας μίμησιν γίνεται, μήτε διὰ τὸ ἔθος, μήτε διὰ τὴν ἡμέραν, ὡς ὡρισμένης τοῦτο ἡμέρας· ἅμα δὲ καὶ εἰς ἀνάμνησιν τῆς ἀληθινῆς νηστείας, ἵνα οἱ μηδέπω ἐκείνην δυνάμενοι νηστεύειν, ἀπὸ τῆς κατὰ τὸ φαινόμενον νηστείας ἔχωσι τὴν ἀνάμνησιν αὐτῆς. Καὶ τὸ πάσχα δὲ ὁμοίως, καὶ τὰ ἄζυμα, ὅτι εἰκόνες ἦσαν, δηλοῖ καὶ Παῦλος ὁ ἀπόστολος· τὸ δὲ πάσχα ἡμῶν, λέγεται, ἐτύθη Χριστός, καὶ ἵνα ἦτε, φησίν, ἄζυμοι, μὴ μετέχοντες ζύμης (ζύμην δὲ νῦν τὴν κακίαν λέγει) ἀλλ' ἦτε νέον φύραμα.

6. Οὗτος γοῦν καὶ αὐτὸς ὁ τοῦ Θεοῦ εἶναι νόμος ὁμολογούμενος εἰς τρία διαιρεῖται, εἴς τε τὸ πληρούμενον ἀπὸ τοῦ σωτῆρος. Τὸ γὰρ οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐκ ἐπιορκήσεις, ἐν τῷ μηδ' ὀργισθῆναι μηδὲ ἐπιθυμῆσαι περιείληπται· διαιρεῖται δὲ καὶ εἰς τὸ ἀναιρούμενον τελείως· τὸ γὰρ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, συμπεπλεγμένον τῇ ἀδικίᾳ καὶ αὐτὸ ἔργον τῆς ἀδικίας ἔχον, ἀνῃρέθη ὑπὸ τοῦ σωτῆρος διὰ τῶν ἐναντίων. Τὰ δὲ ἐναντία ἀλλήλων εἰσὶν ἀναιρετικά. Ἐγὼ γὰρ λέγω ὑμῖν μὴ ἀντιστῆναι ὅλως τῷ πονηρῷ, ἀλλὰ ἐάν τίς σε ῥαπίσῃ, στρέψον αὐτῷ καὶ τὴν ἄλλην σιαγόνα. Ἀλληγορεῖται δὲ καὶ εἰς τὸ μετατεθὲν καὶ ἀπαλλαγὲν ἀπὸ τοῦ σωματικοῦ ἐπὶ τὸ πνευματικὸν τὸ συμβολικὸν τοῦτο, κατ' εἰκόνα τῶν διαφερόντων

γενομένων ἐκείνων· ἐπεὶ γὰρ εἰκόνες καὶ τὰ σύμβολα παραστατικὰ ὄντα ἑτέρων πραγμάτων καλῶς ἐγίνοντο, μέχρι μὴ παρῆν ἡ ἀλήθεια· παρούσης δὲ τῆς ἀληθείας, τὰ τῆς ἀληθείας δεῖ ποιεῖν, οὐ τὰ τῆς εἰκόνος. Ταῦτα δὲ καὶ οἱ μαθηταὶ αὐτοῦ καὶ ὁ ἀπόστολος ἔδειξε Παῦλος, τὰ μὲν τῶν εἰκόνων, ὡς ἤδη εἴπομεν, διὰ τοῦ πάσχα καὶ τῶν ἀζύμων δείξας δι' ἡμᾶς· τὸ δὲ τοῦ συμπεπλεγμένου νόμου τῇ ἀδικίᾳ, εἰπὼν τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργῆσθαι· τὸ δὲ τοῦ ἀσυμπλόκου τῷ χείρονι, ὁ μὲν νόμος, εἰπών, ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή.

7. Ὡς μὲν οὖν συντόμως ἐστὶν εἰπεῖν, αὐτάρκως οἶμαί σοι δεδεῖχθαι, καὶ τὴν ἐξ ἀνθρώπων παρεισδύσασαν νομοθεσίαν, καὶ αὐτὸν τὸν τοῦ Θεοῦ νόμον τριχῆ διαιρούμενον. Περιλείπεται δὲ ἡμῖν, τίς ποτέ ἐστιν οὗτος ὁ Θεός, ὁ τὸν νόμον θέμενος. Ἀλλὰ καὶ τοῦτο ἡγοῦμαί σοι δεδεῖχθαι ἐπὶ τῶν προειρημένων, εἰ ἐπιμελῶς ἀκήκοας. Εἰ γὰρ μήτε ὑπ' αὐτοῦ τοῦ τελείου Θεοῦ τέθειται οὗτος, ὡς ἐδιδάξαμεν, μήτε μὴν ὑπὸ τοῦ Διαβόλου, ὃ μηδὲ θεμιτόν ἐστιν εἰπεῖν, ἕτερός τίς ἐστι παρὰ τούτους οὗτος ὁ θέμενος τὸν νόμον. Οὗτος δὲ δημιουργὸς καὶ ποιητὴς τοῦδε τοῦ παντὸς ἐστι κόσμου καὶ τῶν ἐν αὐτῷ, ἕτερος ὢν παρὰ τὰς τούτων οὐσίας, μέσος τούτων καθεστὼς ἐνδίκως, καὶ τὸ τῆς μεσότητος ὄνομα ἀποφέροιτο ἄν. Καὶ εἰ ὁ τέλειος Θεὸς ἀγαθός ἐστι κατὰ τὴν ἑαυτοῦ φύσιν, ὥσπερ καὶ ἔστιν, (ἕνα γὰρ μόνον εἶναι ἀγαθὸν Θεὸν τὸν ἑαυτοῦ πατέρα ὁ σωτὴρ ἡμῶν ἀπεφήνατο, ὃν αὐτὸς ἐφα-

πλήρωσιν), ἔστι δὲ καὶ ὁ τῆς τοῦ ἀντικειμένου φύσεως, κακός τε καὶ πονηρὸς ἐν ἀδικίᾳ χαρακτηριζόμενος. Τούτων δὲ οὖν μέσον καθεστὼς καὶ μήτε ἀγαθὸς ὤν, μήτε μὴν κακὸς μήτε ἄδικος, ἰδίως τε λεχθείη ἂν δίκαιος, τῆς κατ' αὐτὸν δικαιοσύνης ὢν βραβευτής. Καὶ ἔσται μὲν καταδεέστερος τοῦ τελείου Θεοῦ καὶ τῆς ἐκείνου δικαιοσύνης ἐλάττων οὗτος ὁ Θεός, ἅτε δὴ καὶ γεννητὸς ὢν καὶ οὐκ ἀγέννητος. Εἷς γάρ ἐστιν ἀγέννητος ὁ πατήρ, ἐξ οὗ τὰ πάντα ἰδίως, τῶν πάντων ἠρτημένων ἀπ' αὐτοῦ. Μείζων δὲ καὶ κυριώτερος τοῦ ἀντικειμένου γενήσεται καὶ ἑτέρας οὐσίας τε καὶ φύσεως πεφυκὼς παρὰ τὴν ἑκατέρων τούτων οὐσίαν. Τοῦ μὲν γὰρ ἀντικειμένου ἐστὶν ἡ οὐσία, φθορά τε καὶ σκότος· ὑλικὸς γὰρ οὗτος καὶ πολυσχιδής. Τοῦ δὲ πατρὸς τῶν ὅλων τοῦ ἀγεννήτου ἡ οὐσία ἐστὶν ἀφθαρσία τε καὶ φῶς αὐτόον, ἁπλοῦν τε καὶ μονοειδές. Ἡ δὲ τούτων οὐσία διττὴν μέν τινα δύναμιν προήγαγεν, αὐτὸς δὲ τοῦ κρείττονός ἐστιν εἰκών. Μηδέ σε τὰ νῦν τοῦτο θορυβείτω, θέλουσαν μαθεῖν, πῶς ἀπὸ μιᾶς ἀρχῆς τῶν ὅλων οὔσης καὶ ὁμολογουμένης ἡμῖν καὶ πεπιστευμένης, τοῦ ἀγεννήτου καὶ ἀφθάρτου καὶ ἀγαθῆς, συνέστησαν καὶ αὗται αἱ φύσεις, ἥτε τῆς φθορᾶς καὶ τῆς μεσότητος, ἀνομοούσιοι αὗται καθεστῶσαι· τοῦ ἀγαθοῦ φύσιν ἔχοντος τὰ ὅμοια ἑαυτοῦ καὶ ὁμοούσια γεννᾶν τε καὶ προφέρειν. Μαθήσῃ γάρ, Θεοῦ διδόντος, ἑξῆς καὶ τὴν τούτου ἀρχήν τε καὶ γέννησιν, ἀξιουμένη τῆς ἀποστολικῆς παραδόσεως, ἣν ἐκ διαδοχῆς καὶ ἡμεῖς παρειλήφαμεν, μετὰ καὶ τοῦ κα-

νοήσαι πάντας τοὺς λόγους τῇ τοῦ σωτῆρος διδασκαλίᾳ. Ταῦτά σοι, ὦ ἀδελφή μου Φλώρα, δι' ὀλίγων εἰρημένα οὐκ ἠτόνησα, καὶ τὰ τῆς συντομίας προέγραψα· ἅμα μὲν τὸ προκείμενον ἀπροχρώντως ἐξέφηνα, ἃ καὶ εἰς τὰ ἑξῆς, τὰ μέγιστά σοι συμβαλεῖται, ἐάν γε ὡς καλὴ γῆ καὶ ἀγαθὴ γονίμων σπερμάτων τυχοῦσα, τὸν δι' αὐτῶν καρπὸν ἀναδείξῃς.

De Apelle.

(Ex Euseb. H. E. V, 13.)

Haec de Apelle ex Rhodonis, Tatiani discipuli, libro contra Marcionitas excerpsit Eusebius. Scripserat praeterea Rhodon, ut Eus. V, 13. fin. narrat, quaestionum solutiones et εἰς τὴν ἑξαήμερον ὑπόμνημα.

Ἐν τούτῳ καὶ Ῥόδων γένος τῶν ἀπὸ Ἀσίας μαθητευθεὶς ἐπὶ Ῥώμης, ὡς αὐτὸς ἱστορεῖ, Τατιανῷ, ὃν ἐκ τῶν πρόσθεν ἔγνωμεν, διάφορα συντάξας βιβλία, μετὰ τῶν λοιπῶν καὶ πρὸς τὴν Μαρκίωνος παρατάττεται αἵρεσιν· ἣν καὶ εἰς διαφόρους γνώμας κατ' αὐτὸν διαστᾶσαν ἱστορεῖ, τοὺς τὴν διάστασιν ἐμπεποιηκότας ἀναγράφων, ἐπ' ἀκριβές τε τὰς παρ' ἑκάστῳ τούτων ἐπιτετηρημένας διελέγχων ψευδολογίας. Ἄκουε δ' οὖν καὶ αὐτοῦ ταῦτα γράφοντος.

Διὰ τοῦτο καὶ παρ' ἑαυτοῖς ἀσύμφωνοι γεγόνασιν, ἀσυστάτου γνώμης ἀντιποιούμενοι. Ἀπὸ

γὰρ τῆς τούτων ἀγέλης Ἀπελλῆς μὲν ὁ τῇ πολιτείᾳ σεμνυνόμενος [6]) καὶ τῷ γήρᾳ, μίαν ἀρχὴν ὁμολογεῖ, τὰς δὲ προφητείας ἐξ ἀντικειμένου λέγει πνεύματος, πειθόμενος ἀποφθέγμασι παρθένου δαιμονώσης ὄνομα Φιλουμένης [7]). Ἕτεροι δέ, ὡς καὶ αὐτὸς ὁ ναύτης [8]) Μαρκίων, δύο ἀρχὰς εἰσηγοῦνται, ἀφ' ὧν εἰσὶ Πότιτός τε καὶ Βασιλικός. Καὶ οὗτοι μὲν κατακολουθήσαντες τῷ Ποντικῷ λύκῳ, καὶ μὴ εὑρίσκοντες τὴν διαίρεσιν τῶν πραγμάτων ὡς οὐδὲ ἐκεῖνος, ἐπὶ τὴν εὐχέρειαν ἐτράποντο καὶ δύο ἀρχὰς ἀπεφήναντο ψιλῶς καὶ ἀναποδείκτως. Ἄλλοι δὲ πάλιν ἀπ' αὐτῶν ἐπὶ τὸ χεῖρον ἐξοκείλαντες, οὐ μόνον δύο, ἀλλὰ καὶ τρεῖς ὑποτίθενται φύσεις, ὧν ἐστιν ἀρχηγὸς καὶ προστάτης Σύνερως, καθὼς οἱ τὸ διδασκάλιον αὐτοῦ προβαλλόμενον λέγουσι.

Γράφει δὲ ὁ αὐτός, ὡς καὶ εἰς λόγους ἐλήλυθοι τῷ Ἀπελλῇ, φάσκων οὕτως.

Ὁ γὰρ γέρων Ἀπελλῆς συμμίξας ἡμῖν, πολλὰ μὲν κακῶς λέγων ἠλέγχθη· ὅθεν καὶ ἔφασκε μὴ δεῖν ὅλως ἐξετάζειν τὸν λόγον, ἀλλ' ἕκαστον, ὡς

---

6) Falsa itaque sunt quae Tertullianus de praescript. adv. haer. c. 30. de corruptis Apellis moribus scribit.

7) De hac Philumena scribit Tertullianus de praescr. c. 30.: „Impegit Apelles in illam virginem Philumenen, cujus energemate circumventus, quas ab eo didicit φανερώσεις scripsit." Adv. Marc. III, 11. quoque Tertullianus ejusdem mulieris mentionem facit.

8) Ita etiam Tertullianus de pr. haer. c. 30. scribit: „ponticus nauclerus." Causa nominis ignoratur. Ποντικὸς λύκος paulo infra Marcion dicitur.

ὡς πεπίστευκε διαμένειν· σωθήσεσθαι γὰρ τοὺς ἐπὶ τὸν ἐσταυρωμένον ἠλπικότας ἀπεφαίνετο, μόνον ἐὰν ἐν ἔργοις ἀγαθοῖς εὑρίσκωνται. Τὸ δὲ πάντων ἀσαφέστατον ἐδογματίζετο αὐτῷ πρᾶγμα, καθὼς προειρήκαμεν τὸ περὶ Θεοῦ. Ἔλεγε γὰρ μίαν ἀρχὴν, καθὼς καὶ ὁ ἡμέτερος λόγος.

Εἶτα προθεὶς αὐτοῦ πᾶσαν τὴν δόξαν ἐπιφέρει φάσκων.

Λέγοντος δέ μου πρὸς αὐτὸν, πόθεν ἡ ἀπόδειξις αὕτη σοι, ἢ πῶς δύνασαι λέγειν μίαν ἀρχὴν φράσον ἡμῖν· ἔφη, τὰς μὲν προφητείας ἑαυτὰς ἐλέγχειν, διὰ τὸ μηδὲν ὅλως ἀληθὲς εἰρηκέναι. Ἀσύμφωνοι γὰρ ὑπάρχουσι καὶ ψευδεῖς, καὶ ἑαυταῖς ἀντικείμεναι [9]). Τὸ δὲ πῶς ἐστὶ μία ἀρχὴ, μὴ γινώσκειν ἔλεγεν, οὕτω δὲ κινεῖσθαι μόνον. Εἶτ' ἐπομοσαμένου μου τἀληθὲς εἰπεῖν, ὤμνυεν ἀληθεύειν, λέγων μὴ ἐπίστασθαι πῶς εἷς ἐστὶν ἀγέννητος Θεός, τοῦτο δὲ πιστεύειν. Ἐγὼ δὲ γελάσας, κατέγνων αὐτοῦ· διότι διδάσκαλος εἶναι λέγων, οὐκ ᾔδει τὸ διδασκόμενον ὑπ' αὐτοῦ κρατύνειν.

9) Apelles ut Marcionis adsecla vetus testamentum prorsus rejecit. Refert Euseb. V, 13. fin. ὅ γέ τοι Ἀπελλῆς οὗτος μυρία κατὰ τοῦ Μωϋσέως ἠσέβησε νόμου, διὰ πλειόνων συγγραμμάτων τοὺς θείους βλασφημήσας λόγους, εἰς ἔλεγχόν τε, ὥς γε δὴ ἐδόκει, καὶ ἀνατροπὴν αὐτῶν, οὐ μικρὰν πεποιημένος σπουδήν. Ambrosius de paradiso cap. 5. 6. 7. 8. 10. (Opp. T. I. Edit. Bened.) ex libris Apellis excerpsit nonnulla, quibus in V. T. narrata refellere studet.

De Carpocrate.

(Strom. III, 2.) Οἱ ἀπὸ Καρποκράτους καὶ Ἐπιφάνους ἀναγόμενοι, κοινὰς εἶναι τὰς γυναῖκας ἀξιοῦσιν· ἐξ ὧν ἡ μεγίστη κατὰ τοῦ ὀνόματος ἐῤῥύη βλασφημία. Ἐπιφάνης οὗτος, οὗ καὶ τὰ συγγράμματα κομίζεται, υἱὸς ἦν Καρποκράτους καὶ μητρὸς Ἀλεξανδρείας τοὔνομα· τὰ μὲν πρὸς πατρὸς Ἀλεξανδρεύς· ἀπὸ δὲ μητρὸς Κεφαλληνεύς· ἔζησε δὲ τὰ πάντα ἔτη ἑπτακαίδεκα, καὶ Θεὸς ἐν Σάμῃ τῆς Κεφαλληνίας τετίμηται, ἔνθα αὐτῷ ἱερὸν ῥυτῶν λίθων, βωμοί, τεμένη, μουσεῖον ᾠκοδόμηταί τε καὶ καθιέρωται· καὶ συνιόντες εἰς τὸ ἱερὸν οἱ Κεφαλλῆνες κατὰ νουμηνίαν, γενέθλιον ἀποθέωσιν θύουσιν Ἐπιφάνει, σπένδουσί τε καὶ εὐωχοῦνται καὶ ὕμνοι λέγονται. Ἐπαιδεύθη μὲν οὖν παρὰ τῷ πατρὶ τήν τε ἐγκύκλιον παιδείαν καὶ τὰ Πλάτωνος· καθηγήσατο δὲ τῆς μοναδικῆς γνώσεως· ἀφ' οὗ καὶ ἡ τῶν Καρποκρατιανῶν αἵρεσις.

Λέγει τοίνυν οὗτος ἐν τῷ περὶ δικαιοσύνης· τὴν δικαιοσύνην τοῦ Θεοῦ κοινωνίαν τινὰ εἶναι μετ' ἰσότητος, ἴσος γέτοι πανταχόθεν ἐκταθεὶς οὐρανός, κύκλῳ τὴν γῆν περιέχει πᾶσαν καὶ πάντας ἡ νὺξ ἐπ' ἴσης ἐπιδείκνυται τοὺς ἀστέρας, τόν τε τῆς ἡμέρας αἴτιον καὶ πατέρα τοῦ φωτὸς ἥλιον ὁ Θεὸς ἐξέχεεν ἄνωθεν ἴσον ἐπὶ γῆς ἅπασι τοῖς βλέπειν δυναμένοις· οἱ δὲ κοινῇ πάντες βλέπουσιν, ἐπεὶ μὴ διακρίνει πλούσιον ἢ πένητα ἢ δήμου ἄρχοντα, ἄφρονάς τε καὶ τοὺς φρονοῦντας,

θηλείας, ἄρσενας, ἐλευθέρους, δούλους· ἀλλ' οὐδὲ τῶν ἀλόγων παρὰ τοῦτο ποιεῖταί τι. Πᾶσι δὲ ἐπ' ἴσης τοῖς ζώοις κοινὸν αὐτὸν ἐκχέας ἄνωθεν ἀγαθοῖς τε καὶ φαύλοις, δικαιοσύνην ἐμπεδοῖ, μηδενὸς δυναμένου πλεῖον ἔχειν, μηδὲ ἀφαιρεῖσθαι τὸν πλησίον, ἵν' αὐτὸς τὸ κἀκείνου φῶς διπλασιάσας ἔχῃ. Ἥλιος κοινὰς τροφὰς ζώοις ἅπασιν ἀνατέλλει· δικαιοσύνης τε τῆς κοινῆς ἅπασιν ἐπ' ἴσης δοθείσης· καὶ εἰς τὰ τοιαῦτα βοῶν γένος ὁμοίως γίνεται ὡς αἱ βόες, καὶ συῶν ὡς οἱ σύες, καὶ προβάτων ὡς τὰ πρόβατα, καὶ τὰ λοιπὰ πάντα. Δικαιοσύνη γὰρ ἐν αὐτοῖς ἀναφαίνεται ἡ κοινότης, ἔπειτα κατὰ κοινότητα πάντα ὁμοίως κατὰ γένος σπείρεται, τροφή τε κοινὴ χαμαὶ νεμομένοις ἀνεῖται, πᾶσι τοῖς κτήνεσι καὶ πᾶσιν ἐπ' ἴσης, οὐδενὶ νόμῳ κρατουμένη, τῇ δὲ παρὰ τοῦ διδόντος κελεύσαντος χορηγίᾳ συμφώνως ἅπασι δικαιοσύνῃ παροῦσα· ἀλλ' οὐδὲ τὰ τῆς γενέσεως νόμον ἔχει γεγραμμένον· μετεγράφη γὰρ ἄν, σπείρουσι δὲ καὶ γεννῶσιν ἐπ' ἴσης, κοινωνίαν ὑπὸ δικαιοσύνης ἔμφυτον ἔχοντες· κοινῇ πᾶσιν ἐπ' ἴσης ὀφθαλμὸν εἰς τὸ βλέπειν ὁ ποιητής τε καὶ πατὴρ πάντων δικαιοσύνῃ νομοθετήσας τῇ παρ' αὐτοῦ παρέσχεν, οὐ διακρίνας θήλειαν ἄρρενος, οὐ λογικὸν ἀλόγου, καὶ καθάπαξ οὐδενὸς οὐδέν· ἰσότητι δὲ καὶ κοινότητι μερίσας τὸ βλέπειν ὁμοίως ἑνὶ κελεύσματι πᾶσι κεχάρισται.

Οἱ νόμοι δέ, φησίν, ἀνθρώπων ἀμαθίαν κολάζειν μὴ δυνάμενοι, παρανομεῖν ἐδίδαξαν·

γὰρ ἰδιότης τῶν νόμων, τὴν κοινωνίαν τοῦ θείου νόμου κατέτεμεν καὶ παρατρώγει· μὴ συνιεὶς τὸ τοῦ ἀποστόλου ῥητὸν, λέγοντος διὰ νόμου τὴν ἁμαρτίαν ἔγνων· τό τ' ἐμὸν καὶ τὸ σὸν, φησὶ, διὰ τῶν νόμων παρεισελθεῖν· μηκέτι εἰς κοινότητα· κοινά τε γὰρ καρπουμένων, μήτε γῆν, μήτε κτήματα, ἀλλὰ μηδὲ γάμον· κοινῇ γὰρ ἅπασιν ἐποίησε τὰς ἀμπέλους, αἳ μὴ στρουθὸν μήτε κλέπτην ἀπαρνοῦνται, καὶ τὸν σῖτον οὕτως, καὶ τοὺς ἄλλους καρπούς· ἡ δὲ κοινωνία παρανομηθεῖσα καὶ τὰ τῆς ἰσότητος, ἐγέννησε θρεμμάτων καὶ καρπῶν κλέπτην· κοινῇ τοίνυν ὁ Θεὸς ἅπαντα ἀνθρώπῳ ποιήσας καὶ τὸ θῆλυ τῷ ἄρρενι κοινῇ συναγαγὼν, καὶ πάνθ' ὁμοίως τὰ ζῶα κολλήσας, τὴν δικαιοσύνην ἀνέφηνεν, κοινωνίαν μετ' ἰσότητος, οἱ δὲ γεγονότες οὕτω, τὴν συνάγουσαν κοινωνίαν, τὴν γένεσιν αὐτῶν ἀπηρνήθησαν· καί φησιν, εἰ μίαν ἀγόμενον ἐχέτω, δυναμένων κοινωνεῖν ἁπάντων, ὥσπερ ἀπέφηνε τὰ λοιπὰ τῶν ζώων.

Ταῦτα εἰπὼν κατὰ λέξιν, πάλιν ὁμοίως αὐταῖς ταῖς λέξεσιν ἐπιφέρει·

Τὴν γὰρ ἐπιθυμίαν εὔτονον καὶ σφοδροτέραν ἐνεποίησε τοῖς ἄρρεσιν εἰς τὴν τῶν γενῶν παραμονήν· ἣν οὔτε νόμος, οὔτε ἔθος, οὔτε ἄλλο τι τῶν ὄντων ἀφανίσαι δύναται· Θεοῦ γάρ ἐστι δόγμα.

Καὶ ὅτι θεομαχεῖ ὅ τε Καρποκράτης, ὅ τ' Ἐπιφάνης ἐν αὐτῷ τῷ πολυθρυλλήτῳ βιβλίῳ

τῷ περὶ δικαιοσύνης λέγων, ὧδέ πως ἐπιφέρει κατὰ λέξιν·

Ἔνθεν ὡς γελοῖον εἰρηκότος τοῦ νομοθέτου, ῥῆμα τοῦτο ἀκουστέον, οὐκ ἐπιθυμήσεις, πρὸς τὸ γελοιότερον εἰπεῖν, τῶν τοῦ πλησίον, αὐτὸς γὰρ ὁ τὴν ἐπιθυμίαν δοὺς, ὡς συνέχουσαν τὰ τῆς γενέσεως, ταύτην ἀφαιρεῖσθαι κελεύει, μηδενὸς αὐτὴν ἀφελὼν ζώου· τὸ δὲ, τῆς τοῦ πλησίον γυναικὸς ἰδιότητα τὴν κοινωνίαν ἀναγκάζων, ἔτι γελοιότερον εἶπεν.

TYPIS UNGERIANIS.


3 2044 038 450 102

